Alles was durch eckige klammern eingeschlossen ist, steht in der hs., stört aber den zusammenhang und ist daher auszuscheiden. an manchen stellen, wo diese klammern angewandt sind, konnte ebenso gut eine lücke angenommen werden oder sonst eine andere heilung des verdorbenen versucht werden. lücken sind durch . . . . . . angedeutet. liesz sich eine verdorbene stelle nicht auf einfache weise heilen, so ist das verdorbene (genau nach der schreibung der hs.) durch †. . . . . .† eingeschlossen worden.

Die capiteleinteilung ist nach der Müllerschen ausgabe gemacht.

So viel über den im folgenden gebotenen text.

ΒΙΟϹ ΑΛΕΞΑΝΔΡΟΥ ΤΟΥ ΜΑΚΕΔΟΝΟϹ Fol. 183a ΚΑΙ ΠΡΑΞΕΙϹ.

Cap. 1.

Οἱ ϲοφώτατοι Αἰγύπτιοι, θεῶν ἀπόγονοι, γῆϲ μέτρα καταλαβόμενοι, θαλάϲϲηϲ κύματα καθημερωϲάμενοι[1]), οὐρανοῦ ἀϲτροθεϲίαν ψηφιϲάμενοι, παραδεδώκαϲι*) † τὴν οἰκουμένην ἐπὶ ϲτρατείαϲ· ἀρχὴ λόγου ῥύϲεωϲ μαγικῆϲ δυνάμεωϲ· † φαϲὶ γὰρ τὸν Νεκταναβῶ[2]) τὸν τελευταῖον τῆϲ Αἰγύπτου βαϲιλέα, μεθ᾽ ὃν ἡ Αἴγυπτοϲ ἐξέπεϲε τῆϲ τοιαύτηϲ τιμῆϲ, τῇ μαγικῇ δυνάμει πάντων περιγενέϲθαι. τὰ γὰρ κοϲμικὰ ϲτοιχεῖα λόγῳ πάντα αὐτῷ ὑπετάϲϲετο. εἰ γὰρ αἰφνιδίωϲ πολέμου νέφοϲ ἐπεληλύθει, οὐκ ἔϲκυλε[3]) ϲτρατόπεδον οὐδὲ ὅπλων πομπεύματα οὔτε ϲιδήρου μηχανήματα, ἀλλ᾽ εἰϲήρχετο εἰϲ τὰ βαϲίλεια καὶ ἐλάμβανε χαλκῆν λεκάνην καὶ ἐμπλήϲαϲ αὐτὴν ὕδατοϲ ὀμβρίου ἔπλαττεν ἐκ κηροῦ πλοῖα μικρὰ καὶ ἀνθρωπάρια καὶ ἐνέβαλλεν αὐτὰ εἰϲ τὴν λεκάνην καὶ ἔλεγεν ἀοιδὴν κρατῶν ἐβενίνην[4]) ῥάβδον· καὶ ἐπεκαλεῖτο τοὺϲ ἀγγέλουϲ fol. 183b καὶ θεὸν Λιβύηϲ Ἄμμωνα. καὶ οὕτωϲ τοιαύτῃ λεκανομαντείᾳ τὰ ἐν τῇ λεκάνῃ πλοῖα (ἐβάπτιζε καὶ αὐτῶν βαπτιζομένων τὰ ἐν τῇ θαλάϲϲῃ πλοῖα) τῶν ἐπερχομένων[5]) πολεμίων[6]) (ἀπώλοντο· καὶ οὕτωϲ) ἀπολλυμένων ἀνθρωπίων περιεγένετο· τὸ δὲ αὐτὸ καὶ (κατὰ) τῶν διὰ γῆϲ ἐπερχομένων.

Cap. 2.

Οὕτωϲ οὖν διὰ τῆϲ πολυπειρίαϲ τοῦ ἀνδρόϲ, τοῦ βαϲιλέωϲ, διαμένοντοϲ μετὰ ἱκανὸν χρόνον ἐκ τῶν[1]) παρὰ Ῥωμαίοιϲ ἐξπλωρατώρων[2]), παρὰ δὲ τοῖϲ Ἕλληϲι καταϲκόπων, παρὼν ποτέ τιϲ παρὰ τῷ βαϲιλεῖ οὕτωϲ εἶπε· μέγιϲτε Νεκταναβῶ[3]), παραπεμψάμενοϲ (πάντα) τὸ ἐν εἰρήνῃ εἶναι τοῦτο ἐπίϲκεψαι. ἐπίκειται γάρ ϲοι νέφοϲ οὐκ ὀλίγον μυρίων ἐχθρῶν· εἰϲὶ γὰρ Ϲκύθαι[4]) † κένϲι-

---

1. 1) κατἤμερωϲάμενοι. *) der armenische text, wörtlich ins griechische zurückübersetzt, ergibt: παραδεδώκαϲι τῇ οἰκουμένῃ (möglich auch τῆϲ οἰκουμένηϲ) δύναμιν (ἀλκὴν?) καὶ τὴν τάξιν καὶ τὸ εὕρημα (μυϲτήριον?) τῶν λόγων καὶ τὴν τέχνην τῶν ἔργων. Φαϲὶ κτλ. 2) ᵛεκταβῶ 3) ἐϲκύλε 4) ἐβεννίνην (mit νν auch im armenischen) 5) ὑπερχομένων 6) πολέμων **2.** 1) ἐν τοῖϲ 2) ἐκφρουρατόρων 3) νεκταβῶ 4) ϲκύθεϲ

ρεc· καύκωνες· ἴβηροι· στόδιοι· κυκλωσάνιοι· καὶ λαπάτες· καὶ σπόροι· καὶ ἀργεῖοι καὶ Ζάλβοι· καὶ χαλδαῖοι· καὶ μετωπόψορες· καὶ ἀγριοφάγοι· καὶ εὐωνυμῖται· † καὶ ὅσα εἰσὶν ἔθνη ἀπὸ τῆς ἀνατολῆς μεγάλα, ἀναρίθμητα, ἀνδρῶν στρατὸν ἔχοντα μύριον σπευδόντων τὴν σὴν Αἴγυπτον καταλαβέσθαι. ὑπεισελθέτω σοι τὸ Ὁμηρικὸν διστίχιον (sic)· οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα, ᾧ λαοί τ' ἐπιτετράφαται[5]) καὶ τόσσα μέμηλεν. οὕτως εἰπόντος τοῦ στρατάρχου μειδιῶν[6]) ὁ Νεκτεναβῶς (sic) εἶπε· σὺ fol. 184[a] μὲν καλῶς καὶ ἐπαγρύπνως ἣν βεβούλευσαι (πεπίστευσαι?) φρουρὰν φυλάσσεις[7]), δειλῶς δὲ καὶ οὐ στρατιωτικῶς[8]) ἐφθέγξω· οὐ γὰρ δύναμις[9]) ἐν ὄχλῳ φαίνεται, ἀλλ' ἐν προθυμίᾳ·[10]) καὶ γὰρ εἷς [λόγος πολλοὺς ἐλαύνει· χειρὶ τῇ ἀγαθῇ πολυπληθείᾳ, καλύψων· καὶ γὰρ εἷς] κύων πολλὰς ἐλάφους ἐχειρώσατο καὶ λύκος εἷς ἀγέλην ποιμνίων ὤλεσεν. ὥστε σὺ πορεύου ἅμα τοῖς ὑποταγεῖσι[11]) στρατιώταις καὶ τὴν σεαυτοῦ παράταξιν[12]) φύλαττε. λόγῳ γὰρ ἐγὼ τὴν τῶν βαρβάρων ἀνάριθμον πολυπληθίαν[13]) πελάγους[14]) κύμασιν ὑποκαλύπτω. οὕτως εἰπὼν ἀπέπεμψεν αὐτόν.

Cap. 3.

Οὗτος (αὐτὸς?) δὲ εἰς τὰ βασίλεια ἀναστρέψας ἐκέλευσε πάντας ἐκ μέσου γενέσθαι. μόνος δὲ τὴν λεκάνην θεὶς ἔπλησεν ὕδατος· βαλὼν δὲ ἐπάνω τὰ κήρινα πλοῖα, ἀράμενος κατὰ χεῖρα τὴν ῥάβδον, τῷ δυναμικῷ λόγῳ ἐχρήσατο· ἀτενίσας[1]) δὲ εἰς τὴν λεκάνην εἶδε[2]) τοὺς τῶν Αἰγυπτίων θεοὺς τὰ τῶν πολεμίων βαρβάρων πλοῖα διακυβερνῶντας.[3]) διὸ καὶ στοχασθεὶς τὸ τῶν Αἰγυπτίων βασίλειον ὑπὸ τῶν μακάρων ἤδη προδοσίαν ἔχειν ξυρησάμενος τὴν κεφαλὴν καὶ τὸν πώγωνα[4]) πρὸς[5]) τὸ ἀλλομορφῆσαι, ἐγκολπωσάμενος χρυσὸν ὅσον ἠδύνατο βαστάξαι, ἔφυγε τὴν Αἴγυπτον διὰ τοῦ Πηλουσίου. πολλὰ δὲ περιμαστεύσας[6]) ἔθνη εἰς Πέλλην τῆς fol. 184[b] Μακεδονίας παρεγένετο. (καὶ) ὀθόνην ἀμφιασάμενος οἷα προφήτης Αἰγύπτιος ἀστρολόγος ἐκάθισε δημοσίᾳ τὸν προσερχόμενον σκέπτεσθαι. καὶ ταῦτα μὲν οὕτως.

Ἐν δὲ τῇ Αἰγύπτῳ ἀφανοῦς γενομένου τοῦ Νεκταναβῶ[7]) ἠξίωσαν οἱ Αἰγύπτιοι τὸν προπάτορα τῶν θεῶν Ἥφαιστον, τί ἄρα ὁ τῆς Αἰγύπτου βασιλεὺς ἐγένετο. ὁ δὲ ἔπεμψεν αὐτοὺς[8]) διὰ χρησμῳδίας[9]) πρὸς τὸν ἀόρατον τοῦ Σινωπίου, ὅστις ἐχρησμώδησεν αὐτοῖς· οὗτος[10]) Αἴγυπτον ἐκφυγὼν κρατερὸς ἄλκιμος πρέσβυς βασιλεὺς δυνάστης ἥξει μετὰ χρόνον νέος[11]), τὸ γηραλέον[12]) ἀποβαλὼν τύπων εἶδος[13]), κόσμον κυκλεύσας, ἐπὶ τὸ Αἰγύπτιον[14]) πεδίον, ἐχθρῶν ὑποταγὴν[15]) ἐλθὼν διδοὺς[16]) ἡμῖν. οὕτω δοθέντος

5) ἐπιτετραφάτε 6) μηδιῶν 7) φυλάσσης 8) στρατηωτικῶς 9) δύναμεις 10) ἀλλα προθυμία 11) ὑποταγεί σοι 12) παρἄταξην 13) πολυ πληθείαν 14) πελάγου **3.** 1) ἀτενίσθ 2) ἴδε 3) δὲ κυβερνόντας· 4) των πόγωᵛα 5) πρὸ 6) περὶ μαστεύσας 7) λʋννεκταναβῶς 8) αὐτοις 9) δι' ἀχρησμωδίας 10) αὐτοῖς· οὕτως 11) νέων 12) γηραλαῖον 13) οὖδος 14) αἰγύπτον 15) ὑπὸ ταγήν 16) δίδως

τοῦ χρησμοῦ τούτου μὴ νοήσαντες τὴν λύσιν εἰς τὴν τοῦ ἀνδριάντος τοῦ Νεκταναβὼ[17]) βάσιν γράφουσιν εἰς μνήμην ποταποῦ ἐκβησομένου τοῦ χρησμοῦ τούτου.

Cap. 4.

fol. 185ᵃ ᾿Εν τῇ Μακεδονίᾳ οὖν φανερὸς γίνεται πᾶσιν[1]) ὁ Νεκταναβὼς ἐπὶ τοσοῦτον, ὥστε καὶ τὴν ᾿Ολυμπιάδα θελῆσαι σκέψασθαι (sic) ὑπ᾿ αὐτοῦ. μετεκαλέσατο οὖν αὐτὸν ἀποδήμου[2]) τοῦ Φιλίππου τυγχάνοντος πρὸς πόλεμον. ὃς παραγενόμενος εἰς τὰ βασίλεια, ἰδὼν αὐτῆς τὴν εὐμορφίαν τῆς σελήνης διαφορωτέραν[3]), ἄνθρωπος[4]) κατωφερὴς[5]) εἰς τὰς γυναῖκας, ἀπὸ τῆς ἐρωτικῆς ἐπιθυμίας τὸν νοῦν ἀκονήσας, προτείνας τὴν χεῖρα ἠσπάσατο· χαίροις Μακεδόνων βασίλεια[6]), μὴ καταξιώσας αὐτὴν δέσποιναν εἰπεῖν, τὸν βασιλικὸν ἔχων λογισμόν. ᾿Ολυμπιὰς εἶπεν· χαίροις, ἀγαθώτατε[7]) μαθηματικέ, καὶ παραβὰς καθέζου. ὡς δὲ ἐκάθισεν[8]), ᾿Ολυμπιὰς εἶπεν· ἦ[9]) τυγχάνεις Αἰγύπτιος ἀληθινός[10]); Νεκταναβὼς εἶπεν· ὡς οἱ δοκιμάσαντες λέγουσι. ᾿Ολυμπιὰς εἶπεν· ποίᾳ σκέψει χρώμενος τὸ ἀληθὲς ἀπαγγέλλεις[11]); Νεκταναβὼς εἶπε· καλῶς ἀπεφήνω, ὦ βασίλισσα· πολυσχιδὴς[12]) γάρ ἐστι τῆς σκέψεως ἡ κρίσις· εἰσὶ γὰρ ὀνειροκρίται[13]), σημειολύται, ὀρνεοσκόποι, μάντεις[14]), ἀμμουμάντεις (sic), γενεθλιαλόγοι[15]), ἀπροθέται (sic), ἀστρολόγοι.
fol. 185ᵇ ἐγὼ οὖν πάντων τούτων ἐφαπτόμενος, κατ᾿ ἐξοχὴν προφήτης ὢν Αἰγύπτιος, καὶ μάγος εἰμὶ καὶ ἀστρολόγος. καὶ ταῦτα λέγων δριμύτατον αὐτῇ ἐνέβλεψεν[15a]), ἥτις σημειωσαμένη τὸ βλέμμα εἶπε· τί λογιζόμενος οὖν, ὦ προφῆτα[16]) κατ᾿ ἐξοχήν, τί περιέργως με οὕτως περιέβλεψας; Νεκταναβὼς εἶπεν· ὑπομνησθεὶς[17]) χρησμοῦ, βασίλισσα·[18]) ἤκουσα γὰρ ὑπὸ τῶν ἰδίων θεῶν ποτέ, ὅτι βασιλίδα σε δεῖ σκέψασθαι, καὶ ἅπερ ἔλεγον[18a]) ἀληθῆ εὑρέθη εἶναι.[19]) ἅμα δὲ τῷ ταῦτα εἰπεῖν[20]) προσενεγκάμενος πίνακα πολυτίμητον[21]) βασιλικόν, ὃν ἑρμηνεῦσαί τίς ποτε οὐ δύναται, ἐξ ἐλέφαντος καὶ ἐβενίνου[22]) καὶ χρυσίου καὶ ἀργύρου, τριχάρακτον ζώναις, ἐπὶ μὲν τοῦ πρώτου κύκλου δεκανοὺς ἔχοντα τοὺς τριάκοντα ἕξ, ἐπὶ δὲ τοῦ δευτέρου ζώδια (τὰ) δεκαδύο, ἐπὶ δὲ[23]) τοῦ μέσου ἥλιον καὶ σελήνην, ἔθηκεν ἐπὶ δίφρου· εἶτα γλωσσόκομον ἐλεφάντινον ἀνοίξας[24]) ὡσαύτως μικρὸν ἐκκενώσας τοὺς ἑπτὰ ἀστέρας, καὶ τὸν ὡροσκόπον ἐξ ὀκτὼ λιθοτεχνῶν (sic) μετάλλων ἔθηκε, τὸν τηλικοῦτον οὐρανὸν ἐν ὀλίγῳ κύκλῳ περιφωτίσας[25]) προσθεὶς τὸν
fol. 186ᵃ ἥλιον (κρυστάλλινον), τὴν δὲ σελήνην ἀδαμαντίνην, τὸν ῎Αρεα αἱματίτου, τὸν ῾Ερμέα[26]) (sic) σμαράγδου, τὸν Δία αἰθερίτου (sic), τὴν ᾿Αφροδίτην σαπφείρου[27]), τὸν Κρόνον ὀφίτου, τὸν ὡροσκόπον

---

17) νεκταναβώς 4. 1) πᾶσην 2) ὑποδήμου 3) διαφοροτέραν 4) ἄνος 5) κατοφερὴς 6) μακεδόνος βασιλείου 7) ἀγαθότατε 8) ἐκάθησεν 9) εἰ 10) ἀληθικός 11) ἀπαγγέλεις 12) πολυσχεδῆς 13) ὀνειροκρίτε 14) μάντις 15) γενεολόγοι 15a) ἔβλεψεν· 16) προφῆται 17) ὑπομνησθῆς 18) βασιλικοῦ· 18a) λέγων 19) εὑρεθηναι 20) εἰπῆν 21) πολυτίμιτον 22) ἐβεννίνου 23) ἐπι μὲν 24) ἀθροίσας· 25) περιφωτάσας 26) αἱματί· τουτὸν ἑρμέα 27) σαπφίρου

λυγδίτου. καί φηcιν· εἰπέ μοι, λέξον μοι, βαcιλίc, ἐνιαυτόν, μῆνα[28]), ἡμέραν καὶ τὴν ὥραν τῆc ἑαυτῆc γενέcεωc.[29]) τῆc δὲ εἰρηκυίαc Νεκταναβῶc ψηφίζει τὴν αὐτῆc[30]) καὶ τὴν ἑαυτοῦ γένεcιν[31]), εἰ cυναcτρεῖ εὖ νοῆcαι[32]). ἰδὼν δὲ εὖ κειμένην τὴν ἀcτρονομίαν φηcί· τί θέλειc ἀκοῦcαι, βαcιλίc; Ὀλυμπιὰc εἶπε· τὰ περὶ τὸν Φίλιππον μαθεῖν θέλω· φημίζεται γάρ μοι μετὰ τὸν πόλεμον ἀποβαλεῖν με καὶ γαμεῖν ἄλλην. Νεκταναβῶ εἶπεν· (οὐ) ψευδὴc ἡ φήμη γέγονε, βαcίλιccα † νῦν χρόνοc μετάμελοc γὰρ ὄντοc· τοῦτο γεννήcεται· πλὴν δύναμαί cοι ὡc αἰγύπτιοc· προφήτηc μάγοc· εἰc πολλὸν βοηθὸc γενέcθαι ὅταν μου πρὸc τὸ τοιοῦτον χρεία γέννηται· τὸ γὰρ νῦν ἥμαρτεc cὺ κατὰ τὴν τεθεικέc μοι cαυτῆc γένεcιν. † θεῷ γὰρ ἐπιγείῳ cυνελθεῖν cε δεῖ καὶ ἐξ αὐτοῦ cύλλημμα[33]) ἔχειν[34]) καὶ παιδοποιηθῆναι[35]) cοι ἔκδικον γενόμενον τέκνον τῶν ὑπὸ Φιλίππου γενομένων ἁμαρτημάτων. ἡ δὲ εἶπε· ποῖοc θεόc ἐcτι, ὃν λέγειc μοι cυνευνήcεcθαι[36]); Νεκταναβῶc εἶπε· [ποῖοc] ἐcτὶν οὗτοc ὁ τῆc Λιβύηc κεραὸc πλουτηφόροc Ἄμμων. ἡ δὲ εἶπε· ποῖόc ἐcτιν οὗτοc; [τὴν ἡλικίαν νέοc· μεcήλιξ· τὸν δὲ χαρὰ ποῖοc ἐcτίν·] ὁ δὲ εἶπε· τὴν μὲν ἡλικίαν μεcῆλιξ, πολιὸc τὴν χαίτην, κέρατα κριοῦ ἐπὶ τῶν κροτάφων ἔχων. ὥcτε ἑτοίμαcον cαυτὴν ὡc γυνὴ καὶ βαcίλιccα πρὸc τοὺc γάμουc· καὶ θεωρήcειc ὄνειρον[37]), καὶ θεόν cοι cυγγινόμενον.[38]) Ὀλυμπιὰc εἶπεν· πότε; Νεκταναβῶc εἶπεν· οὐ μακράν, cήμερον· διὸ καὶ προτρέπομαί cε καθὼc βαcιλίδα γυναῖκα ἤδη περὶ ἑαυτὴν γενέcθαι· περιπλακήcεται γάρ cοι ταύτῃ τῇ νυκτὶ[39]) δι᾽ ὀνείρων. Ὀλυμπιὰc εἶπε· τοῦτο ἐὰν ἴδω, οὐχ ὡc προφήτην ἢ μάγον, ἀλλ᾽ ὡc θεόν cε προcκυνήcω.[40]) fol. 186b

Cap. 5.

Οὕτωc εἰπὼν ὁ Νεκταναβῶc ἐξέρχεται ἐκ τῶν βαcιλείων.[1]) ἀναμονὴν δὲ μηδεμίαν[2]) ποιηcάμενοc ἐπὶ τὴν ἔρημον δραμὼν τίλλει βοτάναc πρὸc ὀνειροπόμπιον ἁρμοζούcαc[3]) τὸν Ὀλυμπιάδοc ὕπνον, (καὶ) ὄνειρον γεννᾷ ἧc ἤθελε πράξεωc, ὥcτε ἀληθῶc κατ᾽ ὄναρ ἰδεῖν τὴν Ὀλυμπιάδα περιπλακέντα τὸν Ἄμμωνα καὶ cυνερχόμενον αὐτῇ. ἀνιcτάμενοc λέγει·[4]) γύναι, κατὰ γαcτρὸc ἔχειc υἱὸν ἔκδικον γενόμενον.[5]) fol. 187a

Cap. 6.

Ἀναcτᾶcα οὖν ἡ Ὀλυμπιὰc τῶν ὕπνων καὶ τὸ cύμφωνον τῶν λόγων θαυμάcαcα μετεπέμψατο τὸν μαθηματικὸν καταμόναc καί φηcιν· ἴδε ὃν εἶπάc μοι θεόν, καὶ cυνειcῆλθέ μοι καθὼc μάκαρ

---

28) μήναν 29) γεννήcεωc 30) ἑαυτῆc 31) γέννεcιν 32) εὐνοῆcαι· 33) cύλλημα 34) ἔχην 35) παιδοποιηθειναί 36) cὺν εὐνοῆcθαι 37) ὄννειρον 38) cυνγινόμενον 39) νυκτῆ 40) προcκηνήcω· 5. 1) βαcιλίων 2) μὴδε μίαν 3) ἁμοζούcαc 4) cὺν ἐρχόμενον αὐτῆ ἀνιcταμένη λέγειν (cυνερχ. αὐτῇ ἀνιcταμένῃ λέγειν?) 5) γενόμενον·

ἤδη[1]) ἡδέως· ὥστε με[2]) καὶ βούλεσθαι γρηγοροῦσαν[3]) αὐτῷ καθ' ἡμέραν[4]) κοινωνεῖν· σὺ οὖν μὴ ἀμελήσῃς καὶ τοῦτο. [πῶς δέ σε τοῦτο λανθάνει θαυμάζω.] Νεκταναβὼς εἶπεν· [οὐδένα με λανθάνει·] ἐπειδὴ [δε] ὁμολογεῖς γρηγοροῦσα[3]) αὐτῷ θέλειν συνέρχεσθαι, δεῖ τινα γενέσθαι πρὸς τοῦτο σκέψιν· ἄλλο γὰρ ὄνειρος καὶ ἄλλο αὐτοψία. λογίζομαι οὖν χωρημάτιον[5]) ὑπὸ σοῦ λαβεῖν πλησίον τοῦ κοιτῶνός σου, ὅπως ἐρχομένου τοῦ θεοῦ πρὸς σὲ φόβῳ τινὶ μὴ σχεθῆναί[6]) σε, ὑπουργοῦντός μου ταῖς ἐμαυτοῦ ἐπαοιδαῖς. ὁ γὰρ θεὸς οὗτος ἐρχόμενος πρὸς σὲ γίνεται πρῶτον δράκων[7]) ἐπὶ γῆς ἕρπων (συριγμὸν πέμπων), εἶτα μεταβάλλεται (εἰς) κεραὸν Ἄμμωνα, εἶτα εἰς Ἀλκείδην[8]) Ἡρακλέα, εἶτα εἰς θυρσόκομον[9]) Διόνυσον, εἶτα συνελθὼν ἀνθρωποειδὴς θεὸς ἐμφανίζεται, τοὺς ἐμοὺς τύπους ἔχων. Ὀλυμπιὰς εἶπε· καὶ καλῶς εἶπες, προφῆτα· λάβε τὸν κοιτῶνα. ἐπὰν δὲ τοῦτο ἴδω γρηγοροῦσα[10]), μάθω δὲ τὴν τοῦ[11]) θεοῦ σπορὰν καθεστηκυῖαν ἐμαυτῇ[12]), τιμήσω σε καθὼς βασιλίς.[13]) σχήσομαι δὲ σὲ καὶ πατέρα τοῦ παιδὸς τυγχάνοντα. Νεκταναβὼς εἶπε· προεῖπόν σοι τὸν τοῦ δράκοντος συριγμόν· μὴ πτυρῇς τὸ κῆτος, μᾶλλον δὲ προσηνὴς[14]) αὐτῷ καὶ ἄδειλος ἴσθι.[15])

Cap. 7.

..... Γενομένων οὖν πάντων τῶν προειρημένων οὐκ ἐδειλίασεν ἡ βασίλισσα, ἀλλ' εὐθαρσῶς[1]) ἤνεγκεν τὰς τοῦ θεοῦ[2]) μεταμορφώσεις ἀπὸ τοῦ δράκοντος θαυμάζουσα. ὁ δὲ πάλιν ἀνιστάμενος ἀπ' αὐτῆς, τύψας αὐτῆς τῇ χειρὶ τὴν[3]) κοιλίαν, εἰπών· σπέρματα ἀνίκητα καὶ ἀνυπότακτα διαμείνατε, ἐξέρχεται πρὸς τὴν ἰδίαν ὑπομονήν. γίνεται οὖν τὸ τοιοῦτον σύνηθες λοιπόν, ἡδέως αὐτῆς, ὡς ὑπὸ δράκοντος, Ἄμμωνος, Ἡρακλέους, Διονύσου πανθέου (sic) περιλαμβανονένης.

Ὡς δὲ ἡ γαστὴρ ὠγκοῦτο[4]), βλέψασα τὸν Νεκταναβὼ δειλῶς ἡ Ὀλυμπιὰς εἶπε· προφῆτα, τί μέλλω ποιεῖν, ἐὰν παραγενόμενος Φίλιππος ἔγκυόν με εὕρῃ; Νεκταναβὼς εἶπε· μηδὲν πτοηθῇς, βασιλίς· ἐν τούτῳ βοηθὸς ἔσται ὁ τρίμορφος θεὸς Ἄμμων ὄνειρον αὐτῷ δεῖξαι, ὥστε ἀνέγκλητόν[5]) σε ὑπ' αὐτοῦ εἶναι. οὕτως μὲν οὖν Ὀλυμπιὰς ἐπλανᾶτο ἀνθρωπίνῳ θεῷ μοιχευομένη, πλὴν Αἰγυπτίῳ βασιλεῖ.

fol. 187b

fol. 188a

Cap. 8.

Καὶ δὴ λαβὼν ἱέρακα πελάγιον ὁ Νεκταναβὼς μαγεύσας ὀνειρόπομπον ποιεῖ τῷ Φιλίππῳ. εἶδεν[1]) γὰρ δι' ὀνείρων θεὸν[2]) εὖ-

---

6. 1) ἔιδη 2) μαι 3) γρηγορῶσαν 4) καθῆραν 5) χορημάτιον 6) σχεσθῆναί 7) δράκον 8) ἀλκιδὴν 9) θυρσόκο$^{\mu}$ 10) γρηγορῶσα· 11) τίνος (τινὸς?) 12) ἐμαυτὴν 13) βασιλεῖς 14) πρὸς σηνὴς 15) ἄδειλος ἴσθι γενομένων. οὐκ ἐδειλίασεν (οὖν παν τῶν τῶν προηρημένων οὐκ ἐδειλίασεν) ἡ cett. das eingeklammerte von späterer hand corrigiert. **7.** 1) ἀλεὐθαρσῶς 2) τῶν θεῶν 3) τὴν κοιλ. εἰπὼν· ἐξέρχ. πρ. τ. ἰ. ὑπομονὴν γίνεται· ὃν τὸ τοιοῦτον εἰπὼν· σπέρμ. ἀνίκητα· καὶ ἀνυπ. διαμείνατε· 4) ὀγκοῦτο· 5) ἀνεκλητόν
8. 1) ἴδεν 2) θεῶν

μορφον, πολιόν, κεραόν, ἔνθα τρόπον Ἄμμωνος, συγκοινωνὸν[3]) τῆς Ὀλυμπιάδος (scrib. συγκοιμώμενον τῇ Ὀλυμπιάδι?)· ἀνιστάμενος δὲ ἀπ᾽ αὐτῆς λέγει αὐτῇ[4])· κατὰ γαστρὸς ἔχεις ἐξ ἐμοῦ παῖδα καὶ σοῦ καὶ τοῦ πατρὸς Φιλίππου γενόμενον[5]) ἔκδικον. ὑπενόησε δὲ τὴν φύσιν αὐτῆς Νειλώᾳ[6]) βίβλῳ καταρράπτειν αὐτὸν καὶ σφραγίζειν δακτυλίῳ χρυσῷ ἐν λίθῳ γλυφὴν ἔχοντι κεφαλὴν λέοντος[7]), ἡλίου κράτος καὶ δοράτιον. ἔδοξε δὲ ἱέρακα ταῖς πτέρυξι[8]) [δοκημάζειν καὶ] διυπνίζειν αὐτόν. ταῦτα ἰδὼν πρωίας ἀνιστάμενος μετεπέμψατο ὀνειροπόλον καὶ διηγεῖται τὸν χρησμόν. ὁ δέ φησι· Φίλιππε, καθὼς ἐθεάσω[9]) ἔγκυος γέγονεν Ὀλυμπιάς[10]), πλὴν ὑπὸ θεοῦ. fol. 188ᵇ τὸ γὰρ σφραγίζειν τινὰ[11]) τὴν φύσιν αὐτῆς πίστεως γέμει· οὐδεὶς γὰρ κενὸν ἀγγεῖον σφραγίζει, ἀλλὰ μεστόν. ἐπεὶ[12]) (δὲ) βίβλῳ καταρραφεῖσα[13]) ἦν ἡ φύσις, Αἰγυπτία ἐστὶν ἡ σπορά· οὐδαμοῦ γὰρ βίβλος γεννᾶται εἰ μὴ ἐν Αἰγύπτῳ μόνον. πλὴν οὐ ταπεινή, μᾶλλον δὲ λαμπρὰ ἡ τύχη καὶ ἔνδοξος καὶ ἐπίσημος διὰ τὸν χρύσεον δακτύλιον. (τί γὰρ χρυσοῦ ἐνδοξότερον,) δι᾽ οὗ καὶ θεοὶ προσκυνοῦνται[14]); ὁ δὲ ἥλιος ὁ τῆς γλυφῆς καὶ ἡ κεφαλὴ λέοντος (καὶ τὸ δοράτιον λόγον ἔχει (?) τοιοῦτον·) ὁ γὰρ γεννώμενος[15]) ἕως ἀνατολῆς[16]) φθάσει[17]) πάντας, πολεμίων δορυαλώτους τὰς πόλεις ποιούμενος. τὸ δὲ τὸν θεὸν κριοκέφαλον πολιὸν εἶναι, ὁ τῆς Λιβύης[18]) Ἄμμων θεὸς ὁ τούτου σπορεύς. οὕτως κρίναντος τοῦ ὀνειροπόλου συμπαθῆς[19]) ἤκουσεν Φίλιππος τὸ ὅλως συνειληφέναι[20]) τὴν Ὀλυμπιάδα, κἂν εἴη ἐκ θεοῦ.

Cap. 9.

Νικήσας οὖν τὸν πόλεμον εἰς Μακεδονίαν ἐποιεῖτο τὴν ἐπάνοδον. (ὡς δὲ ἦλθεν εἰς τὰ βασίλεια,) ἐνύποπτος ἡ Ὀλυμπιὰς ἠσπάσατο αὐτόν. ὁ δὲ ἀποβλέψας αὐτὴν τεταραγμένην, ὁ Φίλιππος εἶπε· τίνι παρεδόθης Ὀλυμπιάς; . . . . .[1]) ὅτι ἁμαρτήσασα οὐχ[2]) ἥμαρτες· θεὸς γάρ σε εἰς τοῦτο [οὐκ] ἐβιάσατο, ἵνα ἐκ θεοῦ γεν- fol. 189 νήσασα[3]) παῖδα Φιλίππου πατρὸς ἀναγορεύσῃς αὐτόν. πάντα γὰρ τὰ περὶ σοῦ δι᾽ ὀνείρων ἐθεασάμην· διὸ ἀνέγκλητος εἶ· πάντα γὰρ δυνάμενοι βασιλεῖς πρὸς τοὺς θεοὺς οὐδὲν δυνάμεθα. οὕτως εἰπόντος εὔθυμον τὴν Ὀλυμπιάδα ἀποκατέστησεν.[4])

Cap. 10.

Ἐν[1]) δὲ μιᾷ τῶν ἡμερῶν ἐν τοῖς βασιλείοις[2]) κρύφα διάγων[3]) ὁ Νεκταναβὼς ἤκουσε Φιλίππου λέγοντος τῇ Ὀλυμπιάδι· ἐπλάνησάς[4]) με, γύναι· οὐχ ὑπὸ θεοῦ σύλλημμα[5]) ἔχεις, ἀλλ᾽ ὑπὸ ἀνθρωπίνης φύσεως. εὐωχουμένου δὲ αὐτοῦ [κατηφὴς[6]) ἦν διὰ τὸ

3) συγκονωνὸν 4) αὐτῆς 5) γεννόμενον 6) ἐνίλωὰ 7) ἔχοντος 8) πτέριξι 9) ἐθεάσσω 10) ὀλιμπιάς 11) τῇ κατὰ 12) ἐπὶ 13) καταραφεῖσα 14) πρόσκινοῦνται 15) γλυφῆς· κεφαλῆς λέοντος· ὁ γὰρ γ. cett. 16) κεφαλῆς 17) φθάσῃ 18) λύμνης 19) συμπαθεῖς 20) συνειληφαῖναι **9.** 1) im mscr. keine lücke. 2) οὐκ 3) γεννήσεις 4) ἀπεκατέστησεν· **10.** 1) Ἔτι 2) βασιλίοις 3) κρύφαδι ἄγων 4) ἐπλάνεσάς 5) σύλλημα 6) κατειφῆς·

ἔγκυον[7]) εἶναι τὴν Ὀλυμπιάδα. ὁ δὲ Νεκταναβῶς[8]) ἀλλάξας ἑαυτὸν διὰ τῆς μαγείας (εἰς) δράκοντα μείζονα ἦλθε διὰ μέσου τοῦ τρικλίνου[9]) καὶ ἐσύρει (sic) φοβερόν, ὥστε τὰ θεμέλια σεισθῆναι τοῦ παλατίου. οἱ δὲ συνεσθίοντες τῷ βασιλεῖ θεωρήσαντες τὸν δράκοντα ἐπήδησαν φόβῳ συνεχόμενοι, ἡ δὲ Ὀλυμπιὰς ἐπιγνοῦσα τὸν ἴδιον νυμφίον προέτεινε τὴν δεξιὰν αὐτῆς χεῖρα. καὶ ἐξεγείfol. 189b ρας ἑαυτὸν ὁ δράκων ἐπέθηκε[10]) τὸ γένειον (εἰς τὴν χεῖρα) καὶ ἐκύκλωσε πάντως.[11]) καὶ ἦλθεν ἐπὶ τὰ γόνατα Ὀλυμπιάδος, καὶ προβαλὼν τὴν δίχηλον[12]) αὐτοῦ γλῶσσαν κατεφίλησεν[13]) αὐτήν, τεκμήριον στοργῆς ὁ δράκων πρὸς τοὺς θεωροῦντας ποιούμενος. καὶ τοῦ μὲν Φιλίππου ἅμα μεμφομένου, ἅμα δὲ καὶ θαυμάζοντος καὶ ἀκορέστως προσέχοντος, [καὶ ταῦτα πράξας Νεκταναβὼ πρὸς ἔνδειξιν ἀφανὴς ἐγένετο,] μεταβάλλει[14]) ἑαυτὸν ὁ δράκων εἰς ἀετόν, καὶ τὸ ποῦ ἐχώρησε περιττὸν τὸ λέγειν. ὁ δὲ Φίλιππος ἐκ τοῦ φόβου νοήσας εἶπεν· γύναι, τεκμήριον τοῦ περὶ σὲ ἀγῶνος ἐθεασάμην τὸν θεόν σοι βοηθοῦντα ἐν τῷ κινδύνῳ· τίς δὲ θεός, νῦν οὐκ οἶδα. ἔδειξε γὰρ ἐμοὶ[15]) θεοῦ Ἄμμωνος μορφὴν καὶ Ἀπόλλωνος καὶ Ἀσκληπιοῦ. ἡ δὲ Ὀλυμπιὰς (εἶπεν αὐτῷ· καθὼς μοι ἐδήλωσεν αὐτός, ὅτε μοι συνῆλθεν, ἁπάσης Λιβύης θεὸς Ἄμμων ἐστίν. ὁ δὲ Φίλιππος) ἰδὼν ταῦτα ἐμακάριζεν ἑαυτόν, θεοῦ σπορὰν μέλλοντα καλεῖν[16]) τὸ τικτόμενον ὑπὸ τῆς ἰδίας γυναικός.

Cap. 11.

Μετὰ δὲ ἡμέρας τινὰς καθεζομένου τοῦ Φιλίππου ἔν τινι τῶν βασιλικῶν τόπων συμφύτῳ, ὀρνέων[1]) διαφόρων πλήθη ἐνέμοντο fol. 190a ἐπὶ τῷ τόπῳ. καὶ αἰφνιδίως[2]) ὄρνις ἁλλομένη εἰς τὸν κόλπον Φιλίππου τοῦ βασιλέως ἔτεκεν ᾠόν· καὶ ἀποκυλισθὲν ἀπὸ τοῦ κόλπου αὐτοῦ πεσὸν[3]) εἰς τὴν γῆν ἀπερράγη, ἀφ' οὗ ἐξεπήδησε μικρὸν δρακόντιον, ὅπερ κυκλεῦσαν τὰ[4]) ἔξωθεν[5]) τοῦ ᾠοῦ πάλιν ἐζήτει εἰσελθεῖν ὅθεν ἐξῆλθε· καὶ βαλὼν ἔσωθεν τὴν κεφαλὴν ἐτελεύτησεν. ταραχθεὶς δὲ ὁ βασιλεὺς Φίλιππος μετεστείλατό τινα[6]) σημειολύτην καὶ ὑφηγήσατο αὐτῷ τὸ γενόμενον. ὁ δὲ σημειολύτης εἶπεν αὐτῷ ἐμπνευσθεὶς ἐκ θεοῦ· βασιλεῦ, ἔσται[7]) σοι υἱός, ὃς περιελεύσεται ὅλον τὸν κόσμον, πάντας τῇ ἰδίᾳ δυνάμει ὑποτάσσων· ὑποστρέφων δὲ εἰς τὰ ἴδια βασίλεια ὀλιγοχρόνιος τελευτήσει. ὁ γὰρ δράκων βασιλικὸν ζῶόν ἐστιν· τὸ δὲ ᾠὸν παραπλήσιον τῷ κόσμῳ, ὅθεν ὁ δράκων ἐξῆλθε. κυκλεύσας οὖν τὸν κόσμον καὶ βουλόμενος ὅθεν ἐξῆλθεν εἰσελθεῖν οὐκ ἔφθασεν ἀλλ' ἐτελεύτησεν. ὁ μὲν οὖν σημειολύτης ἐπιλύσας τὸ σημεῖον καὶ δοματισθεὶς[8]) παρὰ τοῦ βασιλέως Φιλίππου ἐξῆλθεν.

---

7) ἐγγῦον 8) ννεκταναβῶς 9) τρικλείνου 10) ἐπέθυκε 11) πάντας 12) δίχειλον 13) κατεφίλισεν 14) μεταβάλει 15) ἐμὶ 16) καλεῖσθαι **11.** 1) τόπων· συμφύτω ὀρνέων· 2) αἰφνήδίως 3) πεσῶν 4) κυκλεύσαντα· 5) ἔξοθεν 6) μετεστήλατο τίνα 7) ἔστε 8) δωματισθεὶς

Cap. 12.

Καὶ τελεςθέντος [1]) τοῦ χρόνου τοῦ τεκεῖν τὴν Ὀλυμπιάδα, fol. 190b καθίςαςα [2]) ἐπὶ τὸν κυοφόρον δίφρον ὠδίνει. παρεςτὼς δὲ Νεκταναβὼ καταμετρήςας τοὺς οὐρανίους δρόμους ἐψυχαγώγει αὐτὴν τοῦ μὴ ςπεῦςαι ἐπὶ τῷ τοκετῷ, καὶ ςυγκλονήςας τὰ κοςμικὰ ςτοιχεῖα, τῇ μαγικῇ δυνάμει χρώμενος, ἐμάνθανε τὰ ἐνεςτῶτα καὶ λέγει αὐτῇ· γύναι, ἔπεχε ςεαυτὴν καὶ νίκηςον τὰ ἐνεςτῶτα τῇ φύςει. ἐὰν γὰρ νῦν ἀποκυήςῃς, ὑπόδουλον αἰχμάλωτον ἢ μέγα τέρας γεννήςεις. πάλιν οὖν τῆς γυναικὸς ὑπὸ τῶν ὠδίνων ὀχλουμένης καὶ μηκέτι καταςχεῖν δυναμένης πλείςτων τῶν [3]) πόνων, ὁ Νεκταναβὼς ἔφη· καρτέρηςον [4]) ὀλίγον, γύναι· ἐὰν γὰρ νῦν ἀποκυήςεις, γάλλος [5]) ἔςται ἀπρόκοπος ὁ γεννώμενος. [6]) τινὰ δὲ καὶ παρηγορίαν [7]) καὶ χρηςτοὺς λόγους [8]) ὁ Νεκταναβὼ (παρεῖχε καὶ) τὰς χεῖρας τοῖς φυςικοῖς πόροις ἐδίδαςκεν ἐπέχειν τὴν Ὀλυμπιάδα· αὐτὸς δὲ τῇ ἰδίᾳ μαγείᾳ χρώμενος κατεῖχε τῆς γυναικὸς τὸν τοκετόν. πάλιν οὖν κατανοήςας τοὺς οὐρανίους δρόμους τῶν κοςμικῶν ςτοιχείων ἐπέγνω τὸν ςύμπαντα κόςμον μεςουρανοῦντα καὶ λαμπηδόνα τινὰ ἀπὸ οὐρανοῦ ἐθεάςατο ὡς τοῦ ἡλίου μεςου- fol. 191a ρανοῦντος, καὶ ἔφη πρὸς τὴν Ὀλυμπιάδα· δίδου νῦν τὴν πρὸς γέννηςιν [9]) φωνήν. καὶ αὐτὸς δὲ ἐπένευςεν αὐτῆς τὸν τοκετὸν καὶ εἶπεν αὐτῇ· βαςιλέα ἄρτι τέξει κοςμοκράτορα. ἡ δὲ Ὀλυμπιὰς μεῖζον [10]) βοὸς μυκηςαμένη ἀπεκύηςε παῖδα ἄρρενα ςὺν ἀγαθῇ τύχῃ. τοῦ δὲ παιδὸς πεςόντος εἰς τὴν γῆν ἐγένοντο βροντῶν κτύποι ἀλλεπάλληλοι καὶ ἀςτραπῶν φωτιςμοί [11]), ὥςτε τὸν ςύμπαντα κόςμον κινεῖςθαι.

Cap. 13.

Πρωίας δὲ γενομένης [1]) ἰδὼν Φίλιππος τὸ τεχθὲν παιδίον ὑπὸ Ὀλυμπιάδος ἔφη· ἐβουλόμην [2]) μὲν αὐτὸ [3]) μὴ ἀναθρέψαι, διὰ τὸ γέννημα ἐμὸν μὴ [4]) εἶναι, ἀλλ᾽ ἐπειδὴ ὁρῶ τὴν μὲν ςπορὰν θεοῦ οὖςαν, τὸν δὲ τοκετὸν ἐπίςημον κοςμικόν, τρεφέςθω [5]) εἰς μνήμην τοῦ τελευτήςαντός μου παιδός, γενομένου [6]) μοι [7]) ἐκ (τῆς) προτέρας γυναικός· καλείςθω [8]) δὲ Ἀλέξανδρος. καὶ οὕτως εἰπόντος τοῦ Φιλίππου πᾶςαν ἐπιμέλειαν [9]) ἐλάμβανε τὸ παιδίον· ςτεφανηφορία [10]) δὲ καθ᾽ ὅλης τῆς Μακεδονίας ἐγένετο καὶ τῆς Πέλλης καὶ τῆς Θρᾴκης καὶ ταῖς ἑτέραις χώραις. [11]) ἵν᾽ οὖν μὴ ἐπὶ πολὺ [12]) βραδύνω τὸν λόγον περὶ τῆς ἀνατροφῆς Ἀλεξάνδρου, fol. 191b ἀπεγαλακτίςθη, καὶ ἀναβιβάζεται τῇ ἡλικίᾳ. ἀνδρυνθέντος δὲ Ἀλεξάνδρου τὸν χαρακτῆρα οὐχ ὅμοιον εἶχε Φιλίππῳ [13]), ἀλλ᾽ οὐδὲ Ὀλυμπιάδι τῇ μητρὶ οὐδὲ τῷ ςπείραντι· ἀλλ᾽ ἰδίῳ τύπῳ κεκοςμη-

---

12. 1) τελευθέντος (τελευτηθέντος?) 2) καθήςαςα 3) τῶν πλήςτων 4) καρτέριςον 5) γάλλον 6) γεννόμενος 7) παριγορίαις 8) χρηςτοῖς λόγοις· 9) προςγέννηςιν 10) μείζων 11) φοτιςμοί·
13. 1) γενωμένης 2) ἐβολόμην 3) αὐτῶ 4) μοι 5) θρεφέςθω 6) γενναμένου 7) μου 8) καλεῖςθο 9) ἐπιμέλιαν 10) ςτεφανηφόρος 11) χόραις· 12) πολῆ 13) φιλίππου

μένος μορφὴν μὲν εἶχεν ἀνθρώπου, τὴν δὲ χαίτην[14]) λέοντος, τοὺς δὲ ὀφθαλμοὺς ἑτερογλαύκους· τὸν μὲν δεξιὸν κατωφερῆ[15]) (καὶ μέλανα) ἔχων, τὸν δὲ εὐώνυμον[16]) γλαυκόν· ὀξεῖς δὲ τοὺς ὀδόντας ὡς πασσαλίσκους, ὡς δράκοντος, ὁρμὴν δὲ ἐνέφηνε[17]) λέοντος, [ὀξύς· πρόδηλος δὲ ἦν·] κατὰ χρόνους δὲ αὐξήσας εἰς τὰ μαθήματα ἐμελέτα. ἐγένετο δὲ αὐτοῦ τροφὸς Λεκάνη, ἡ Μέλαντος ἀδελφή, παιδαγωγὸς δὲ καὶ ἀνατροφεὺς Λεωνίδης[18]), διδάσκαλος γραμμάτων Πολυνείκης[19]), μουσικῆς δὲ Λεύκιππος Λήμνιος[20]), γεωμετρίας[21]) δὲ Μέλεμνος Πελοποννήσιος, ῥητορικῶν δὲ λόγων Ἀναξιμένης[22]) Ἀριστοκλέους ὁ Λαμψακηνός[23]), φιλοσοφίας δὲ Ἀριστοτέλης Νικομάχου[24]), Σταγειρίτης.[25]) Ἀλέξανδρος δὲ πᾶσαν παιδείαν καὶ ἀστρονομίαν μελετήσας καὶ ἀπολυόμενος ἐκ τῶν μαθημάτων (fol. 192a) τοὺς συμμαθητὰς αὐτοῦ ἐδίδασκε κατὰ μέρος καὶ εἰς πόλεμον αὐτοὺς ἤθροιζε, καὶ μόνος συνῆπτε τὴν μάχην· ὁπότε δὲ ἑωράκει μέρος ἡττώμενον ὑπὸ τοῦ ἑτέρου, εἰς τὸ ἡττώμενον[26]) μέρος μετέβαινε καὶ ἐβοήθει[27]) καὶ πάλιν ἐνίκα, ὡς φανερὸν ἦν, ὅτι αὐτὸς ἦν ἡ νίκη. οὕτως μὲν ὁ Ἀλέξανδρος ἀνετρέφετο. καὶ μετὰ τῶν στρατευμάτων ἐπὶ τὸ καμπικὸν ἔτρεχε μελέτημα, καὶ τοῖς ἵπποις ἐναλλόμενος[28]) ἵππευεν. ἐν μιᾷ οὖν τῶν ἡμερῶν κομίζουσιν οἱ τοῦ Φιλίππου ἱπποφορβοὶ[29]) ἐκ τῶν ἱπποφορβίων αὐτοῦ πῶλον ὑπερμεγεθέστατον καὶ παρέστησαν αὐτὸν τῷ βασιλεῖ Φιλίππῳ[30]) λέγοντες· δέσποτα βασιλεῦ, τοῦτον τὸν ἵππον ἐν τοῖς βασιλικοῖς ἱπποφορβίοις εὕρομεν γεννηθέντα, κάλλει διαφέροντα τοῦ Πηγάσου·[31]) ὃν κομίζομέν σοι, δέσποτα. θεασάμενος δὲ αὐτοῦ τὸ μέγεθος καὶ τὸ κάλλος Φίλιππος ὁ βασιλεὺς ἐθαύμασεν. βίᾳ δὲ φρουρούμενος ὑπὸ πάντων κατείχετο. οἱ δὲ ἱπποφορβοὶ[29]) εἶπον· δέσποτα βασιλεῦ, ἀνθρωποφάγος[32]) ἐστίν. ὁ δὲ βασιλεὺς Φίλιππος (fol. 192b) εἶπεν· ἀληθῶς[33]) ἐν τούτῳ πληροῦται τὸ ἐν τοῖς Ἕλλησι παροίμιον[34]), ὅτι ἐγγὺς ἀγαθοῦ πέφυκε[35]) κακόν. ἀλλ' ἐπειδὴ ἔφατε[36]) αὐτὸν ἐνηνοχέναι, λήψομαι αὐτόν. καὶ ἐκέλευσε τοῖς προπόλοις[37]) αὐτοῦ ποιῆσαι σιδηροῦν κάγκελον[38]) καὶ τοῦτον ἐγκλεῖσαι ἀχαλίνωτον[39]), καὶ τοὺς μὴ ὄντας ὑπηκόους τῆς ἐμῆς βασιλείας, ἀλλ' ὑποπίπτοντας [ἢ] τῷ νόμῳ ἀπειθοῦντας ἢ ἐπὶ λῃστείᾳ ληφθέντας αὐτῷ παραβάλλετε.[40]) καὶ ἐγένετο καθὼς ἐκέλευσεν ὁ βασιλεύς.

Cap. 14.

Ὁ δὲ Ἀλέξανδρος προέκοπτε τῇ ἡλικίᾳ, καὶ γενόμενος ἐτῶν ιβ´ μετὰ τοῦ πατρὸς εἰς τὰς τάξεις τῶν στρατευμάτων παρεγένετο,

---

14) χέτην 15) κατωφερεῖ 16) ἐβώνυμον 17) ἐνέφανε 18) κλεονίδης 19) πολυνίκης 20) λιμναῖος 21) γεομετρίας 22) ἀξιμένης 23) λαψηκινὸς· 24) νικομάχους 25) τατιίτης (von jüngerer hand am rande σταγειρίτης) 26) τω ἡττόμενον 27) ἐβο[illegible] 28) ενηλόμενος 29) ἱπποφόροι 30) φιλείππω· 31) πιγάσου 32) ἀνθροποφάγος 33) ἀληθὸς 34) προοίμιον· 35) πέφηκε 36) ἔφητε 37) πρωπώλοις 38) σίδερον κάγγελον· 39) ἀχαλίνοτον· 40) παραβάλεται

καὶ καθώπλιζεν[1]) ἑαυτόν, καὶ συνώρμα[2]) τοῖς στρατεύμασιν καὶ τοῖς ἵπποις ἐφήλλετο[3]), ὥστε ὁρῶντα[4]) τὸν Φίλιππον εἰπεῖν· τέκνον Ἀλέξανδρε, [στυγῶ[5]) δέ σου τὸν χαρακτῆρα[6]) ὅμοιόν μοι (μὴ) τυγχάνοντα·] φιλῶ σου τοὺς τρόπους καὶ τὸ γενναῖον, οὐ[7]) τὸν χαρακτῆρα, ὅτι οὐχ ὅμοιός μοι τυγχάνει. λυπηρὰ δὲ ταῦτα πάντα τῇ Ὀλυμπιάδι ἐτύγχανον. καλεῖ οὖν τὸν Νεκταναβὼν πρὸς ἑαυτὴν ἡ Ὀλυμπιάς, καὶ λέγει αὐτῷ· σκέψαι[8]) τί βούλεται περὶ ἐμοῦ Φίλιππος. θεὶς δὲ τὸν πίνακα[9]) καὶ τοὺς ἀστέρας σκέπτεται περὶ αὐτῆς παρακαθημένου αὐτοῖς τοῦ Ἀλεξάνδρου. καὶ εἶπε πρὸς αὐτὸν Ἀλέξανδρος· πάτερ, οὐ τοίνυν οὓς λέγεις ὧδε[10]) ἀστέρας ἐν τῷ οὐρανῷ φαίνονται. καὶ μάλα, ἔφη, τέκνον. καὶ λέγει αὐτῷ Ἀλέξανδρος· οὐ δύναμαι[11]) αὐτοὺς εἰδέναι[12]) (ἰδεῖν?); ὁ δὲ[13]) εἶπε· ναὶ τέκνον, δύνασαι ἑσπέρας γινομένης. καὶ τῇ ἑσπέρᾳ παραλαβὼν Νεκταναβὼ τὸν Ἀλέξανδρον, φέρει αὐτὸν ἔξω τῆς πόλεως εἰς ἔρημον τόπον, καὶ ἀναβλέπων εἰς τὸν οὐρανὸν ἐδείκνυεν[14]) τῷ Ἀλεξάνδρῳ τοὺς οὐρανίους ἀστέρας. ὁ δὲ Ἀλέξανδρος κατέχων αὐτοῦ τὴν χεῖρα φέρει αὐτὸν εἰς [τὸν] βόθυνον καὶ ἀπολλύει[15]) αὐτόν. καταπεσὼν δὲ Νεκταναβὼ λαμβάνει φοβερῶς κατὰ τῶν ἰνίων αὐτοῦ, καὶ εἶπεν· οἴμοι τέκνον Ἀλέξανδρε, τί σοι ἔδοξε τοῦτο ποιῆσαι[16]); ὁ δὲ Ἀλέξανδρος εἶπεν· ἑαυτὸν μέμφου μαθηματικέ. ὁ δὲ ἔφη· διὰ τί, τέκνον; ὁ δὲ Ἀλέξανδρός φησιν· ὅτι τὰ ἐπὶ γῆς μὴ ἐπιστάμενος τὰ ἐν οὐρανῷ ἐκζητεῖς.[17]) καὶ λέγει αὐτῷ ὁ Νεκταναβώ· τέκνον, φοβερῶς εἴληφα τὸ πρᾶγμα· ἀλλ' οὐκ ἔστιν οὐδένα θνητῶν κατανικῆσαι τὴν εἱμαρμένην.[18]) ὁ δὲ Ἀλέξανδρος εἶπε· διὰ τί; λέγει αὐτῷ[19]) Νεκτανεβώ· ὅτι ἐμοιρολόγησα ἑαυτόν, ὅτι ὑπὸ τοῦ ἰδίου τέκνου ἀναιρεθῆναί[20]) με δεῖ, καὶ οὐκ ἐξέφυγον τὴν μοῖραν, ἀλλ'[21]) ὑπὸ σοῦ ἀνῃρέθην. ὁ δὲ Ἀλέξανδρος ἔφη· ἐγὼ οὖν υἱός σού εἰμι; τότε διηγήσατο αὐτῷ ὁ Νεκτανεβὼ τὴν ἐν[22]) Αἰγύπτῳ βασιλείαν αὐτοῦ, καὶ τὴν ἀπ' Αἰγύπτου φυγήν, τὴν εἰς Πέλλην αὐτοῦ ἐπιδημίαν[23]), καὶ τὴν πρὸς Ὀλυμπιάδα[24]) εἴσοδον αὐτοῦ, καὶ τὴν σκέψιν αὐτῆς, καὶ τὸ πῶς εἰσῆλθεν πρὸς αὐτήν, ὡς θεὸς Ἄμμων, καὶ τὸ πῶς συνεμίγη αὐτῇ.[25]) λέγων δὲ ταῦτα ἐξέπνευσεν τὸ πνεῦμα αὐτοῦ. ὁ δὲ Ἀλέξανδρος ἀκούσας ταῦτα παρ' αὐτοῦ καὶ πεισθεὶς ὑπ' αὐτοῦ τὸν ἴδιον πατέρα τελευτήσαντα, κατενύγη καὶ φοβηθεὶς οὐκ εἴασεν αὐτὸν ἐν τῷ βόθρῳ, μή πως θηριόβρωτος[26]) γένηται·[27]) νὺξ γὰρ ἦν καὶ ἔρημος ὁ τόπος. καὶ στοργὴν λαβὼν πρὸς τὸν σπείραντα διεζώσατο[28]) καὶ ἐπιτίθεται αὐτὸν ἐπὶ τῶν ὤμων αὐτοῦ γενναίως καὶ ἀπάγει πρὸς Ὀλυμπιάδα τὴν μητέρα αὐτοῦ. καὶ θεασαμένη ἡ Ὀλυμπιὰς εἶπε πρὸς Ἀλέξανδρον· τί τοῦτο, τέκνον; ὁ δὲ εἶπε·

fol. 193ᵃ — fol. 193ᵇ — fol. 194ᵃ

---

14. 1) καθόπληζεν 2) συνόρμα 3) ἐφήλετο 4) ὁρόντα 5) σταγῶ(?) 6) χαρακτίρα 7) ὁ 8) σκέψε 9) πήνακα 10) ὅδε 11) δύναμε 12) ἰδέναι· 13) ὅδε 14) ἐδείκνυσεν 15) ἀπόλύει 16) ποιῆσας; 17) ἐκζητῆς· 18) ἡμαρμένην· 19) αὐτῶν 20) ἀνερεθῆναι 21) ἀλ' 22) ἐ 23) ἐπιδιμίαν 24) ὀλυμπιάδαν 25) αὐτήν· 26) θυριόβροτος 27) γένητε· 28) δυεζώσατο

[νέος αἰνείας] τυμβεύcων[29]) βαστάζω. καὶ διηγήσατο αὐτῇ πάντα λεπτομερῶς, ἃ ἤκουσε παρὰ τοῦ Νεκτανεβῶ. ἡ δὲ θαυμάσασα κατέγνω ἑαυτῆς ὡς πλανηθεῖσα ὑπ' αὐτοῦ μαγικαῖς κακοτεχνίαις ἐμοιχεύθη. στοργὴν δὲ λαβοῦσα ἔθαψεν[30]) αὐτὸν πρεπόντως[31]) ὡς πατέρα Ἀλεξάνδρου. καὶ τάφον ποιησαμένη ἐκεῖ αὐτὸν ἔθετο.

Θαῦμα τῆς προνοίας ἐστὶ δόκιμον, τὸν (μὲν) Νεκτανεβῶ Αἰγύπτιον τυγχάνοντα εἰς τὴν Μακεδονίαν Ἑλλαδικῇ[32]) ταφῇ κηδευθῆναι, (τὸν δὲ Ἀλέξανδρον Μακεδόνα τυγχάνοντα εἰς Αἰγυπτιακὴν ταφὴν κηδευθῆναι.)

Cap. 15.

Ἐπανελθὼν δὲ Φίλιππος ἀπὸ τῆς ἀποδημίας[1]) ἀπῆλθεν εἰς Δελφοὺς χρησμοδοτηθῆναι, τίς ἄρα[2]) μετ' αὐτὸν βασιλεύσει. ἡ δὲ ἐν Δελφοῖς Πυθία[3]) γευσαμένη τοῦ Κασταλίου νάματος[4]), διὰ χθονίου χρησμοῦ οὕτως εἶπεν· Φίλιππε, ἐκεῖνος ὅλης τῆς[5]) οἰκουμένης βασιλεύσει, καὶ δόρατι πάντας ὑποτάξει, ὅστις τὸν Βουκέφαλον ἵππον ἀλλόμενος διὰ μέσης τῆς Πέλλης[6]) διοδεύσει. ἐκλήθη δὲ Βουκέφαλος, ἐπειδὴ ἐν τῷ μηρῷ εἶχεν ἐκ καύματος βοὸς [φαίfol. 194b νοντα] κεφαλήν.[7]) ὁ δὲ Φίλιππος ἀκούσας τὸν χρησμὸν προσεδόκα νέον Ἡρακλῆν.[8])

Cap. 16.

Ἀλέξανδρος δὲ Ἀριστοτέλει[1]) τῷ καθηγητῇ οὐ μόνος[2]) ἐχρήσατο. καὶ ἱκανῶν ὄντων ἄλλων παίδων τῷ Ἀριστοτέλει εἰς μάθησιν παιδείας, ὄντων δὲ ὑπ' αὐτῷ βασιλέων υἱῶν[3]), εἶπεν ἐν μιᾷ (τῶν ἡμερῶν) πρὸς ἕνα αὐτῶν[4]) Ἀριστοτέλης· ἐὰν κληρονομήσῃς[5]) τοῦ πατρός σου τὸ βασίλειον, τί μοι χαρίζῃ τῷ καθηγητῇ σου; ὁ δὲ εἶπεν· ἔσῃ[6]) παρ' ἐμοὶ[7]) συνδίαιτος μονοκράτωρ[8]), καὶ ἔνδοξόν σε παρὰ πάντας ποιήσω. ἑτέρου δὲ ἐπύθετο· εἰ δὲ σὺ τέκνον παραλάβῃς τὸ βασίλειον τοῦ πατρός σου, πῶς μοι χρήσῃ[9]) τῷ καθηγητῇ σου; ὁ δὲ εἶπεν· διοικητήν σε ποιήσω, καὶ τῶν ὑπ' ἐμοῦ κρινομένων πάντων σύμβουλον[10]) καταστήσω. εἶπε δὲ καὶ πρὸς Ἀλέξανδρον· εἰ δὲ σὺ τέκνον Ἀλέξανδρε παραλάβῃς τὸ βασίλειον τοῦ πατρός σου Φιλίππου, πῶς μοι[11]) χρήσει τῷ καθηγητῇ σου; ὁ δὲ Ἀλέξανδρος εἶπεν· περὶ μελλόντων πραγμάτων ἄρτι μοι (μὴ?) πυνθάνῃ· τῆς αὔριον ἐνέχυρον μὴ ἔχων, τότε δώσω σοι τοῦ καιροῦ[12]) καὶ τῆς ὥρας ἐλευσομένης. καὶ λέγει αὐτῷ ὁ Ἀριστοτέfol. 195a λης· χαίροις Ἀλέξανδρε κοσμοκράτωρ (κοσμοκράτορ?), σὺ γὰρ

---

29) τυμνεύσων (τὸν Ἀγχίσην?) 30) ἔθαψαν 31) πρεπόντος 32) ἐλαδικῇ **15.** 1) ἀποδιμίας. diese ἀποδημία nur in A angedeutet (cap. 14 note 4 Müll.) 2) ὦρα 3) παθεῖα 4) νάμματος 5) ὅ ληστῆς 6) πέλης 7) κεφαλῆς· (ἐγκαύματα βοὸς φαίνοντα κεφαλὴν oder κεφαλάς?) 8) ἠρακλήν. **16.** 1) ἀριστοτέλης 2) μόνος οὐκ 3) υἱοὺς· 4) αὐτὸν 5) κληρονομίσης 6) ἔσω 7) ἐμοῦ 8) μηνοκράτωρ· 9) μη χρήση 10) σύμβουλόν (add. σε?) 11) μη 12) κεροῦ·

μέγιστος βασιλεὺς ἔσῃ. ὑπὸ πάντων δὲ Ἀλέξανδρος ἐφιλεῖτο ὡς φρενήρης καὶ πολεμιστής, ὑπὸ δὲ Φιλίππου ἐν ἀμφιβολίᾳ (ἦν). ἔχαιρε γὰρ ὁρῶν τοιοῦτον ἀρειμάνιον[13]) πνεῦμα τοῦ παιδός, ἐλυπεῖτο δὲ μὴ[14]) ὅμοιον αὐτὸν ὁρῶν τῷ ἑαυτοῦ χαρακτῆρι.

Cap. 17.

Ἐγένετο δὲ Ἀλέξανδρος ἐτῶν ιε΄, καὶ ἐν μιᾷ τῶν ἡμερῶν ἔτυχε διέρχεσθαι αὐτὸν ἐν τῷ τόπῳ, ἔνθα ἦν ὁ Βουκέφαλος ἵππος ἐγκεκλησμένος, καὶ ἤκουσε χρεμετισμοῦ[1]) φοβεροῦ. καὶ ἐπιστραφεὶς πρὸς τοὺς προπόλους[2]) εἶπεν· τίς οὗτος ὁ χρεμετισμός[3]) του ἵππου; ἀποκριθεὶς δὲ ὁ Πτολεμαῖος ὁ στρατάρχης εἶπεν· δέσποτα, οὗτός ἐστιν ὁ Βουκέφαλος ἵππος, ὃν ὁ πατήρ σου ἐνέκλεισε διὰ τὸ ἀνθρωποφάγον αὐτὸν εἶναι. ἀκούσας δὲ ὁ ἵππος τῆς Ἀλεξάνδρου λαλιᾶς ἐχρεμέτισεν[4]) ἐκ δευτέρου, οὐχ ὡς πάντοτε φοβερόν, ἀλλὰ μελιχρὸν καὶ λιγυρόν, ὡς ὑπὸ θεοῦ ὑποτασσόμενος. ὡς οὖν ἤγγισε τῷ καγκέλλῳ[5]) Ἀλέξανδρος, εὐθέως ὁ ἵππος προέτεινε τοὺς ἐμπροσθίους πόδας τῷ Ἀλεξάνδρῳ, καὶ τὴν γλῶτταν αὐτοῦ προσχὼν [ἐν] αὐτῷ, ὑποφαίνων τὸν ἴδιον δεσπότην. ὁ δὲ Ἀλέξανδρος fol. 195b θεασάμενος[6]) τὴν θαυμαστὴν τοῦ ἵππου πρόσοψιν, καὶ λείψανα πολλῶν[7]) ἀνθρώπων βιαιοθανάτων[8]) ὑποκείμενα αὐτῷ, παραγκωνισάμενος τοὺς φύλακας τοῦ ἵππου ἤνοιξε τὸ κάγκελλον[9]), καὶ δραξάμενος τοῦ τένοντος[10]) αὐτοῦ ὑπετάγη αὐτῷ, καὶ ἥλατο ἀχαλίνωτον, καὶ διῆγε διὰ μέσης τῆς πόλεως Πέλλης. δραμὼν δέ τις τῶν ἱπποφορβῶν ἀπήγγειλεν τῷ βασιλεῖ Φιλίππῳ ἔξω ὄντι τῆς πόλεως Πέλλης. ὁ δὲ Φίλιππος ὑπομνησθεὶς τοῦ χρησμοῦ εὐθέως ὑπήντησε τῷ Ἀλεξάνδρῳ· καὶ ἠσπάσατο αὐτὸν εἰπών· χαίροις Ἀλέξανδρε κοσμοκράτωρ. καὶ ἀπὸ τότε ἱλαρὸς ἦν Φίλιππος ἐπὶ τοῦ τέκνου ἐλπίδι.

Cap. 18.

Μιᾷ οὖν τῶν ἡμερῶν εὗρεν εὐκαιροῦντα[1]) τὸν πατέρα αὐτοῦ Ἀλέξανδρος καὶ καταφιλήσας αὐτὸν εἶπεν· πάτερ, δέομαί σου ἐπιτρέψαι[2]) μοι εἰς Πίσας[3]) πλεῦσαι ἐπὶ τὸν ἀγῶνα τῶν[4]) Ὀλυμπίων, ἐπειδὴ ἀγωνίσασθαι βούλομαι. ὁ δὲ Φίλιππος εἶπε πρὸς αὐτόν· καὶ ποῖον ἄσκημα ἀσκήσας τοῦτο ἐπιθυμεῖς; ὁ δὲ Ἀλέξανδρος εἶπεν· ἁρμελατῆσαι (sic) βούλομαι. ὁ δέ φησιν· τέκνον, ἐγὼ νῦν fol. 196a προνοήσομαί σοι[5]) ἵππους ἐκ τῶν ἐμῶν ἱπποστασίων[6]) ἐπιτηδείους· καὶ οὗτοι μὲν ἐπιμεληθήσονται, σὺ δὲ τέκνον γύμναζε σεαυτὸν ἐπιμελέστερον, ὁ γὰρ ἀγὼν ἔνδοξός ἐστιν. ὁ δὲ Ἀλέξανδρος εἶπεν· πάτερ, σὺ ἐπίτρεψόν μοι ἀπελθεῖν ἐν τῷ ἀγῶνι· ἔχω γὰρ ἵππους ἐκ νέας ἡλικίας, οὓς ἐγὼ ἐμαυτῷ ἀνέθρεψα. καταφιλήσας δὲ αὐτὸν

13) ἀριμάνιον 14) μοι **17.** 1) χραιμετισμοῦ 2) πρωπώλους 3) χραιμετισμός 4) ἐχραιμέτισεν 5) καγγέλλῳ 6) θεασσάμενος 7) πολῶν 8) βιοθανάτων· 9) κάγγελλον· 10) στένοντος **18.** 1) εὐκεροῦντα 2) ἐπιτρέψε 3) πίσσας 4) τῶν ἀγωνάτων 5) σου 6) ἱπποσταλέντων (?)

[τὸν Ἀλέξανδρον] Φίλιππος καὶ θαυμάσας αὐτοῦ τὴν προθυμίαν φησὶν πρὸς αὐτόν· τέκνον, (εἰ) τοῦτο βούλει, βάδιζε ὑγιαίνων.[7]) ἀπελθὼν δὲ ἐπὶ τὸν λιμένα ἐκέλευσεν ναῦν[8]) καινὴν κατασκευασθῆναι, καὶ τοὺς ἵππους ἅμα καὶ ἅρμασιν ἐμβληθῆναι. ἐπέβη δὲ Ἀλέξανδρος ἅμα τῷ φίλῳ αὐτοῦ Ἡφαιστίωνι, καὶ ἀποπλεύσας παρεγένετο εἰς Πίσας.[9]) ἐξελθὼν δὲ καὶ λαβὼν ξένια πολλὰ ἐκέλευσε τοῖς παισὶ [εἰς] τὴν τῶν ἵππων ἄλειψιν ποιεῖσθαι, καὶ αὐτὸς ἅμα τῷ φίλῳ αὐτοῦ Ἡφαιστίωνι[10]) ἐπὶ περίπατον[11]) ἐξήει.[12]) καὶ ὑπήντησεν αὐτῷ Νικόλαος υἱὸς Ἀνδρέου βασιλέως Ἀκαρνάνων. πλούτῳ καὶ τύχῃ, δυσὶ θεοῖς, φρυαττόμενος[13]), καὶ τῇ τοῦ σώματος δυνάμει πεποιθώς. καὶ προσελθὼν ἠσπάσατο τὸν Ἀλέξανδρον εἰπών·[14]) χαίροις μειράκιον. ὁ δὲ ἔφη· χαίροις καὶ σύ, ὅστις εἶ[15]) καὶ ὅθεν τυγχάνεις.[16]) ὁ δὲ Νικόλαος εἶπε τῷ Ἀλεξάνδρῳ· ἐγώ εἰμι Νικόλαος ὁ βασιλεὺς Ἀκαρνάνων.[17]) ὁ δὲ Ἀλέξανδρος εἶπε πρὸς αὐτόν· μὴ οὕτω γαυριῶ, Νικόλαε βασιλεῦ, καὶ φρυάττου ὡς τὸ ἱκανὸν ἔχων τῆς αὔριον ζωῆς· τύχη γὰρ οὐχ[18]) ἕστηκεν ἐφ᾿ ἑνὸς τόπου, ῥοπὴ δὲ τοὺς ἀλαζόνας κατευτελίζει. ὁ δὲ Νικόλαος ἔφη· λέγεις μὲν ὀρθῶς, ὑπονοεῖς δὲ οὐχ οὕτως· τί δὲ παρεγένου[19]) ἐνταῦθα, θεατὴς ἢ ἀγωνιστής; ἔμαθον γὰρ ὅτι Φιλίππου εἶ τοῦ Μακεδόνος υἱός. Ἀλέξανδρος εἶπεν· ἐγὼ πάρειμι ἀγωνίσασθαί σοι τὸν ἱππαστικὸν ἀγῶνα μικρὸς ὢν τῇ ἡλικίᾳ. Νικόλαος (εἶπε)· μᾶλλον[20]) παλαιστὴς[21]) ἢ παγκρατιῶν[22]) ἢ ἱμαντομάχος ἥκεις.[23]) ὁ δὲ Ἀλέξανδρος πάλιν ἔφη· ἁρμελατῆσαι βούλομαι. ὑπερζέσας δὲ τῇ χολῇ ὁ Νικόλαος καὶ καταφρονήσας Ἀλεξάνδρου, θεωρήσας τὸ νέον[24]) τῆς ἡλικίας αὐτοῦ, οὐ μαθὼν τὸ τῆς ψυχῆς ἔκχυμα (sic) ἐνέπτυσεν αὐτῷ εἰπών· μή σοι καλῶς γένοιτο. ὁρᾶτε εἰς τίνα ἐλήλυθεν τὸ Πισαῖον[25]) στάδιον.[26]) ὁ δὲ Ἀλέξανδρος δεδεμένος (δεδαημένος — δεδιδαγμένος?) ὑπὸ τῆς φύσεως ἐγκρατεύεσθαι, ἀπομαξάμενος τὸν ἐν ὕβρει σίελον[27]), καὶ μειδιάσας θανάσιμον, φησί· Νικόλαε ἄρτι σε νικήσω καὶ ἐν τῇ πατρίδι σου Ἀκαρνάνων[28]) δόρατί σε λήψομαι. καὶ ἀπέστησαν ἀπ᾿ ἀλλήλων διαμαχόμενοι.

fol. 196b (at "τος δυνάμει πεποιθώς"); fol. 197a (at "ἐνέπτυσεν αὐτῷ")

Cap. 19.

Μετὰ δὲ ἡμέρας ὀλίγας ἐπέστη ἡ τοῦ ἀγῶνος προθεσμία· καὶ εἰσῆλθον ἁρμελατῆσαι[1]) ἐννέα, οἱ μὲν [εἰσῆλθον] δ´ υἱοὶ βασιλέων[2]) τυγχάνοντες· αὐτὸς ὁ Νικόλαος ὁ Ἀκαρνάν[3]), καὶ Ξανθίας[4]) Βοιώτιος[5]), καὶ Κίμων[6]) Κορίνθιος, καὶ Ἀλέξανδρος ὁ Μακεδών, οἱ δὲ λοιποὶ σατραπῶν καὶ στρατηγῶν υἱοί. ἐτέθησαν λοιπὸν[7]) τὰ τοῦ ἀγῶνος πάντα, καὶ ἡ καμπὴ[8]) ἐκληρώθη. ἔλαχε πρῶτος Νι-

---

7) ὑγειαίνω· 8) νῆαν (νῆα?) 9) πίσσας· 10) ἡφεστίωνι 11) ἐπι περιπατῶν 12) ἐξίει' 13) φυλαττόμενος· 14) εἶπων· 15) ὃς δ᾿ ἄν τις ἧ 16) τυγχάνης· 17) ἀρκανῶν· 18) οὐκ 19) παραγένου 20) μᾶλον 21) παλεστῆς 22) παγκρατίω[ν] 23) ἧκας· 24) τὸν έον 25) πισσαῖον 26) στόμαον· 27) ἐνύβρεισι ἐλὸν· 28) ἀκαρναννῶν· **19.** 1) ἁρμελατῆσσαι 2) βασιλέως 3) ἀκαρναῖος· 4) ξανθέως 5) βοιότιος· 6) κιμῶν 7) λοιπῶν 8) κάλπη

κόλαος, δεύτερος Ξανθίας[9]), τρίτος Κίμων[6]), τέταρτος Κλειτόμαχος[10]), πέμπτος Ἀρίστιππος Ὀλύνθιος, ἕκτος Πιήριος Φωκαεύς[11]), ἕβδομος Κίμων Λίνδιος, ὄγδοος Ἀλέξανδρος ὁ Μακεδών, ἔνατος Κριτόμαχος Λοκρός.[12]) ἔστησαν λοιπὸν[7]) ἐπὶ τὴν ἱππασίαν· ἠλάλαξεν ἡ σάλπιγξ τὸ ἐναγώνιον μέλος· ἐξῆλθον αἱ ταβλώσεις τῶν ἵππων· ἠνοίχθησαν αἱ ἀφετηρίαι τῶν καγκέλλων.[13]) προεπήδησαν πάντες, fol. 197b ὀξεῖ ὁρμήματι χρησάμενοι· πρῶτον καμπτῆρα (περιῆλθον), δεύτερον καὶ τρίτον καὶ τέταρτον. οἱ μὲν οὖν ὑστεροῦντες ἠτόνησαν τῶν ἵππων λιποψυχησάντων· τέταρτος δὲ ἦν Ἀλέξανδρος ἐλαύνων, ὄπισθεν δὲ αὐτοῦ ἦν ὁ Νικόλαος οὐχ οὕτως ἔχων τὸ νικῆσαι, ὡς τὸ ἀναιρῆσαι τὸν Ἀλέξανδρον. ἦν γὰρ ὁ πατὴρ Νικολάου ἐν πολέμῳ ὑπὸ Φιλίππου ἀναιρεθείς. τοῦτο δὲ γνοὺς ὁ φρενήρης Ἀλέξανδρος, πεσόντων τῶν πρώτων τῶν ἐλαυνόντων ὑπ' ἀλλήλων, συνεχώρησεν[14]) τὸν Νικόλαον παρελθεῖν. ὁ δὲ Νικόλαος ἀγνοῶν τὴν ἐνέδραν διέβη ἔχων τὴν δόξαν τοῦ στεφανωθῆναι. λοιπὸν ἤλαυνεν πρῶτος, μετὰ δὲ δύο καμπτῆρας κονδυλίζει(?)[15]) ὁ δεξιὸς ἵππος τοῦ Νικολάου ἐπὶ τῷ ἅρματι τῷ πρώτῳ καὶ συμπεσόντων τῶν πρώτων ἵππων καταπίπτει ὁ Νικόλαος. ῥοίζῳ δὴ[16]) ὁ Ἀλέξανδρος ἐπιβαίνει[17]) τῇ ὁρμῇ τῶν ἵππων τῶν ἑαυτοῦ, καὶ παρερχόμενος ἐπιλαμβάνεται τῶν ἀξόνων[18]) τῶν ὀπισθίων τοῦ Νικολάου καὶ καταπίπτει ὅλον τὸ ἅρμα τοῦ Νικολάου, σὺν τῷ ἡνιόχῳ, καὶ τελευτᾷ ὁ Νικόλαος. διαμένει λοιπὸν ὁ Ἀλέξανδρος μονώτατος[19])· καὶ γίνεται τῷ[20]) τελευτήσαντι ἡ παροιμία ἡ λέγουσα· fol. 198a ὃς ἄλλῳ κακὰ τεύχει, ἑαυτῷ τεύχει.

Στεφανοῦται[21]) λοιπὸν ὁ Ἀλέξανδρος, καὶ ἀναβαίνει τὸν νικητικὸν ἐστεμμένος (στέφανον)· στεφανοῖ γὰρ αὐτὸν Ὀλυμπίων τὸν κότινον στέφανον παρὰ τῷ Ὀλυμπίῳ Διί.[22]) καὶ λέγει αὐτῷ ὁ τοῦ Διὸς μάντις· Ἀλέξανδρε, προμηνύει σοι[23]) ὁ Ὀλύμπιος Ζεὺς ταῦτα· θάρσει· ὥσπερ Νικόλαον ἐνίκησας, οὕτως πολλοὺς νικήσεις ἐν πολέμοις.

Cap. 20.

Ὁ δὲ Ἀλέξανδρος λαβὼν τὴν κληδόνα[1]) ταύτην, νικηφόρος ἀναστραφεὶς εἰς Μακεδονίαν εὑρίσκει[2]) τὴν μητέρα αὐτοῦ Ὀλυμπιάδα, ἀπόβλητον γενομένην[3]) ὑπὸ Φιλίππου τοῦ βασιλέως, τὸν δὲ Φίλιππον γήμαντα τὴν ἀδελφὴν Λυσίου, Κλεοπάτραν[4]) τοὔνομα. αὐτῇ δὲ τῇ ἡμέρᾳ ἀγομένων τῶν γάμων Φιλίππου, ἔχων τὸν νικητικὸν στέφανον Ἀλέξανδρος[5]) τὸν Ὀλυμπιακόν, εἰσῆλθεν εἰς τὸν δεῖπνον, καὶ λέγει τῷ βασιλεῖ Φιλίππῳ· πάτερ δέξαι μου τῶν πρώτων ἱδρώτων τὸν νικητικὸν στέφανον, καὶ ὅταν μέντοι κἀγὼ δίδωμι τὴν ἐμαυτοῦ μητέρα Ὀλυμπιάδα βασιλεῖ ἑτέρῳ πρὸς γάμον, καλέσω σε εἰς τὸν γάμον Ὀλυμπιάδος. καὶ ταῦτα εἰπὼν fol. 198b

---

9) ξανθείας 10) κητομάχος· 11) φωκάης· 12) λοκίος· 13) καγγέλλων 14) συνεχώρισεν 15) κονδολίζει 16) δὶ 17) ἐπιβαίνη 18) τῶ ἄξωνι 19) μονότατος 20) τὸ 21) στεφανοῦνται 22) ὀλυμπίαδι· 23) σου **20.** 1) κληίδονα 2) εὑρίσκη 3) γεναμένην 4) κλεωπάτραν 5) ἀλέξανδρον

Ἀλέξανδρος ἀνεκλίθη [6]) ἐναντίον Φιλίππου τοῦ πατρὸς αὐτοῦ [γελωτοποιός]. Φίλιππος δὲ ἐπὶ τοῖς λεγομένοις παρὰ Ἀλεξάνδρου ἐτρύχετο.

Cap. 21.

Ὁ δὲ Λυσίας συνανακείμενος [1]) ἔλεγε τῷ Φιλίππῳ· Φίλιππε βασιλεῦ, πάσης πόλεως δυνάστα, νῦν γάμον σοι τελοῦμεν Κλεοπάτρας, τῆς ἀδελφῆς ἐμῆς [2]), ἐξ ἧς [3]) παιδοποιήσεις γνησίους παῖδας ἀμοιχεύτους, ὁμοίους ὄντας τῷ σῷ προσώπῳ. ἀκούσας δὲ ταῦτα ὁ Ἀλέξανδρος παρὰ Λυσίου ὀργίζεται, καὶ ὡς εἶχε τὴν κύλικα ἐνέτεινε [4]) τῷ Λυσίᾳ, καὶ δίδωσιν αὐτῷ κατὰ τοῦ κροτάφου αὐτοῦ, καὶ ἀναίρει [5]) αὐτόν. ἰδὼν δὲ ὁ Φίλιππος τὸ γενόμενον ἀνίσταται ξιφήρης, μανικὸν ἔχων ξίφος κατὰ Ἀλεξάνδρου, καὶ πίπτει σκελισθεὶς ἀπὸ τῆς κρηπῖδος [6]) τοῦ ἀκουβίτου. ὁ δὲ Ἀλέξανδρος γελάσας εἶπε πρὸς Φίλιππον· ὁ τὴν Ἀσίαν ὅλην σπεύδων παραλαβεῖν καὶ τὴν Εὐρώπην ἐκ βάθρων καταστρέψαι, οὐκ εὐτόνησας [7]) βῆμα ἓν ἀνελθεῖν. [8]) καὶ ταῦτα εἰπὼν Ἀλέξανδρος ἥρπασε τὸ ξίφος ἀπὸ Φιλίππου τοῦ πατρὸς αὐτοῦ, καὶ πάντας τοὺς κεκλημένους ἡμισφαγεῖς [9]) ἐποίησεν. ἦν δὲ ἰδεῖν Κενταύρων ἱστορίαν· fol. 199a οἱ μὲν γὰρ αὐτῶν ὑπὸ τοὺς κλιντῆρας ἔφυγον, οἱ δὲ ταῖς τραπέζαις ὡς ὅπλοις ἐχρήσαντο, ἄλλοι δὲ ὑπὸ σκοτεινοὺς τόπους ὑπεχώρουν, ὥστε θεωρεῖν νέον ἄλλον Ὀδυσσέα [10]) τὸν Ἀλέξανδρον, τοὺς τῆς Πηνελόπης [11]) μνηστῆρας ἀναιροῦντα. [12])

Cap. 22.

Ἐξέρχεται οὖν Ἀλέξανδρος καὶ φέρει τὴν μητέρα αὐτοῦ Ὀλυμπιάδα εἰς τὸ παλάτιον, ἔκδικος τῶν αὐτῆς γάμων γενόμενος. τὴν δὲ ἀδελφὴν Λυσίου Κλεοπάτραν [1]) φυγάδα ἐποίησεν. βαστάσαντες δὲ οἱ δορυφόροι [2]) Φίλιππον τὸν βασιλέα, κατέκλιναν αὐτὸν ἐπὶ τοῦ κλιντῆρος, ἐσχάτως ἔχοντα. καὶ μετὰ ἡμέρας ι′ εἰσέρχεται ὁ Ἀλέξανδρος πρὸς τὸν Φίλιππον, καὶ παρακαθεσθεὶς αὐτῷ εἶπε πρὸς αὐτόν· Φίλιππε βασιλεῦ — (τούτῳ) τῷ ὀνόματί σε καλέσω, μήποτε ἀνηδέως [3]) ἔχῃς [4]) τοῦ ὑπ᾽ ἐμοῦ πατέρα σε φωνεῖσθαι — εἰσῆλθον πρὸς σὲ [5]) οὐχ ὡς υἱός σου, ἀλλ᾽ ὡς φίλος σου μεσίτης ὢν τῶν ὑπὸ σοῦ ἀδίκως πρὸς τὴν γυναῖκα πραχθέντων. λέγει αὐτῷ Φίλιππος· κακῶς ἐποίησας, Ἀλέξανδρε, ἀνελὼν τὸν Λυσίαν, ἐπὶ τοῖς αὐτοῦ εἰρημένοις [6]) ἀπρεπέσι ῥήμασιν. ὁ δὲ Ἀλέξανδρος εἶπεν· fol. 199b σὺ δὲ καλῶς ἔπραξας ἐπαναστὰς ξιφήρης τῷ [7]) σῷ τέκνῳ θέλων ἀναλῶσαί με, γαμεῖν βουλόμενος ἑτέραν μηδὲν ἀδικηθεὶς ὑπὸ τῆς προτέρας γυναικὸς Ὀλυμπιάδος; ἐξανάστα οὖν καὶ περὶ σεαυτὸν γενοῦ· οἶδα γὰρ διὰ τί νωθρεύει [8]) σου τὸ σῶμα καὶ λήθην [9]) δῶ-

---

6) ἀνεκλήθη **21.** 1) ἀνακήμενος 2) τῆς δεσίμης (τῆς αἰδεσίμης?) 3) ἐξῆς 4) ἐνέτινε 5) ἀνέρει 6) κριπῖδος 7) εὐτόνισας 8) ἕνα ἐλθεῖν· 9) ἡμισφαγὰς 10) ὀδυσσέον 11) ἐπὶ τῆ πηνελώπη 12) ἀνεροῦντα· **22.** 1) κλεωπάτραν 2) δοροιφόροι· 3) ἂν ἡδέως 4) ἔχεις 5) προσὲ 6) ἡρημένοις 7) ἀναστὰς ξιφ. ἐπὶ τῶ 8) διὰ τίνων θρεύει 9) λίθυν

μεν ἐπὶ τοῖς ἡμαρτημένοις.[10]) κἀγὼ νῦν[11]) παρακαλέσω Ὀλυμπιάδα τὴν μητέρα μου διαλλαγῆναί[12]) σοι· πεισθήσεται γὰρ τῷ υἱῷ αὐτῆς, κἂν σὺ οὐ θέλῃς[13]) καλεῖσθαι (πατήρ μου).

Καὶ ταῦτα εἰπὼν Ἀλέξανδρος ἐξέρχεται καὶ ἐλθὼν πρὸς Ὀλυμπιάδα τὴν μητέρα αὐτοῦ λέγει αὐτῇ· μῆτερ, μὴ ἀγανάκτει[14]) ἐπὶ τοῖς γινομένοις ὑπὸ τοῦ ἀνδρός. ἐκεῖνον λανθάνει τὸ ὑπὸ σοῦ γενόμενον ἁμάρτημα, ἐγὼ δὲ ἔλεγχός σου τυγχάνω Αἰγυπτίου πατρὸς ὢν υἱός· ὥστε οὖν ἐλθὲ παρακαλοῦσα αὐτὸν διαλλαγῆναί σοι· πρέπον γάρ ἐστι γυναικὶ τῷ ἰδίῳ ἀνδρὶ ὑποτάσσεσθαι. καὶ ἤγαγε τὴν μητέρα αὐτοῦ πρὸς Φίλιππον βασιλέα τὸν πατέρα αὐτοῦ, καὶ εἶπεν· πάτερ, ἐπιστράφηθι[15]) πρὸς τὴν γυναῖκά[16]) σου· νῦν πατέρα σε φωνήσω, ὅτι καὶ σὺ τῷ τέκνῳ[17]) σου πεισθείς (sic). παρέστη σοι ἡ μήτηρ μου πολλὰ παρακληθεῖσα[18]) παρ' ἐμοῦ τοῦ εἰσελθεῖν πρὸς σὲ καὶ ἀμνήμων[19]) γενέσθαι τῶν πραχθέντων. λοιπὸν fol. 200ᵃ περιπλακεῖτε ἀλλήλοις· αἰσχρὸν γὰρ οὐκ ἔστιν ὑμῖν[20]) ἐπὶ ἐμοῦ· ἐξ ὑμῶν γὰρ ἔφυν.[21]) καὶ ταῦτα εἰπὼν διήλλαξε[22]) τοὺς γονεῖς, ὥστε αὐτὸν ὑπὸ πάντων θαυμάζεσθαι τῶν Μακεδόνων. τὸ δὲ ὄνομα τοῦ Λυσίου ἔκτοτε παρῃτοῦντο οἱ γαμοῦντες ὀνομάζειν, μήποτε αὐτοῦ ὀνομασθέντος διάλυσιν λάβωσιν.

Cap. 23.

Ἦν δὲ ἡ πόλις Μεθώνη[1]) ἀντάρασα τῷ Φιλίππῳ. πέμπει οὖν Φίλιππος τὸν Ἀλέξανδρον μετὰ πολλῆς στρατείας[2]) τοῦ πολεμῆσαι (αὐτήν). ὁ δὲ Ἀλέξανδρος παραγενόμενος ἐπὶ τὴν Μεθώνην, λόγοις συνετοῖς ἔπεισε τούτους ὑπηκόους γενέσθαι. ἐπανελθὼν δὲ ἀπὸ Μεθώνης ὁ Ἀλέξανδρος καὶ εἰσελθὼν πρὸς τὸν πατέρα αὐτοῦ Φίλιππον ἔστη καὶ ὁρᾷ ἐπάνω αὐτοῦ ἑστῶτας ἄνδρας, βαρβαρικῷ στολισμῷ ἠμφιεσμένους. καὶ ἐξήτασε[3]) περὶ αὐτῶν λέγων· τίνες εἰσὶν οὗτοι; οἱ δὲ εἶπον αὐτῷ· σατράπαι Δαρείου, τοῦ Περσῶν βασιλέως. ὁ δὲ Ἀλέξανδρός φησιν πρὸς αὐτούς· τί ὧδε παραγεγόνατε[4]); οἱ δὲ ἀπεκρίθησαν πρὸς αὐτόν· τοὺς συνήθεις φόρους ἀπαιτῆσαι[5]) τὸν πατέρα σου. λέγει αὐτοῖς ὁ Ἀλέξανδρος· ὑπὲρ τίνος ὑμεῖς φόρους ἀπαιτεῖτε; ἀπεκρίθησαν αὐτῷ οἱ σατράπαι Δαρείου· ὑπὲρ τῆς γῆς Δαρείου τοῦ βασιλέως. λέγει αὐτοῖς ὁ fol. 200ᵇ Ἀλέξανδρος· εἰ ταύτην οἱ θεοὶ τοῖς ἀνθρώποις δεδώκασιν[6]) δωρεὰν εἰς διατροφάς, Δαρεῖος τὴν τῶν θεῶν δωρεὰν ἐρανίζεται. εἶτα λέγει αὐτοῖς[7]) πειράζων· τί γὰρ ἂν (εἴη ἃ) λαμβάνετε; λέγουσιν αὐτῷ· ᾠὰ[8]) χρύσεα ρ' ἀπὸ λιτρῶν[9]) εἴκοσι χρυσίου. ἀποκριθεὶς δὲ ὁ Ἀλέξανδρος εἶπεν αὐτοῖς· οὐ δίκαιόν ἐστιν Φίλιππον τὸν Μακεδόνων βασιλέα τοῖς βαρβάροις φόρους παρέχειν· οὐ γὰρ

---

10) ἁμαρτημένοις· 11) κἀγὼν ἦν 12) διαλαγῆναί 13) θέλης 14) ἀγανάκτη 15) ἐπιστράφηθη 16) γυναῖκάν 17) τὸ τέκνω 18) παρακληθῆσα 19) ἀμνήμον 20) ἡμῖν 21) ἔφην· 22) διήλλεξε

23. 1) μαθώνη und so stets im folgenden. 2) στρατίας 3) ἐξέτασε 4) παραγεγοναται· 5) ἀπαιτεῖσαι 6) δέδωκαν 7) αὐτῆς 8) ὠ ἃ 9) ἀπόλυτρον

ὁ θέλων τοὺς Ἕλληνας ὑποτάσσει. λέγει οὖν Ἀλέξανδρος τοῖς σατράπαις Δαρείου· πορεύεσθε[10]), καὶ εἴπατε Δαρείῳ, ὅτι Ἀλέξανδρος, ὁ Φιλίππου παῖς, δηλοῖ σοι, ὅταν ἦν αὐτὸς Φίλιππος μόνος, φόρους ὑμῖν ἐτέλει· ὅτε δὲ ἐγέννησεν υἱὸν Ἀλέξανδρον, φόρους ὑμῖν οὐ δίδωσιν· ἀλλὰ καὶ οὓς ἔλαβες[11]) παρ' αὐτοῦ, ἐγὼ παρὼν πρὸς σὲ λήψομαι. καὶ ταῦτα εἰπὼν ἐξαπέστειλεν τοὺς πρέσβεις, μηδὲ[12]) γραμμάτων ἀξιώσας τὸν πέμψαντα[13]) αὐτοὺς βασιλέα. ἔχαιρε δὲ ἐπὶ τούτοις Φίλιππος ὁ βασιλεὺς τῶν Ἑλλήνων, ὁρῶν τοιαῦτα τολμῶντα τὸν Ἀλέξανδρον.

Οἱ δὲ πρέσβεις λαβόντες ἀργύριον ἔδωκάν[14]) τινι Ἕλληνι φίλῳ fol. 201ª αὐτῶν ζωγράφῳ, καὶ κατεσκεύασεν αὐτοῖς εἰκονίδιον πρὸς τὸ ἐκτύπωμα τῆς μορφῆς Ἀλεξάνδρου.[15])

Πάλιν οὖν ἑτέρας πόλεως ἀτακτούσης τῶν Θρᾳκῶν[16]) τῷ Φιλίππῳ, πέμπει τὸν Ἀλέξανδρον μετὰ πλήθους στρατιωτῶν πολεμῆσαι αὐτήν.

Cap. 24.

Ἦν δέ τις ἐκεῖ Παυσανίας ὀνόματι, ἀνὴρ μέγας καὶ πλούσιος σφόδρα καὶ ἐξάρχων πάντων Θεσσαλονικέων.[1]) οὗτος οὖν εἰς ἐπιθυμίαν ἐλθὼν Ὀλυμπιάδος τῆς μητρὸς Ἀλεξάνδρου, ἔπεμψε πρὸς αὐτήν τινας τοὺς δυναμένους, πεῖσαι αὐτὴν καταλεῖψαι Φίλιππον τὸν ἄνδρα αὐτῆς, καὶ γαμηθῆναι[2]) αὐτῷ, πέμψας[3]) αὐτῇ χρήματα πολλά. τῆς δὲ Ὀλυμπιάδος μὴ κατανευσάσης ἐλθὼν Παυσανίας ἔνθα ἦν Φίλιππος, γνοὺς τὸν Ἀλέξανδρον ἐν πολέμῳ πορευθέντα, εἰσῆλθεν ἀγῶνος τελουμένου θυμελικοῦ, καὶ τοῦ Φιλίππου[4]) ἐν τῷ Ὀλυμπίῳ θεάτρῳ ἀγωνοθετοῦντος ἐπεισέρχεται ξιφήρης ὁ Παυσανίας ἐν τῷ θεάτρῳ μετὰ καὶ ἑτέρων ἀνδρῶν, γενναίως (ἀνδρῶν γενναίων?) ἀνελεῖν βουλόμενος τὸν Φίλιππον, ἵνα τὴν Ὀλυμπιάδα ἁρπάσῃ. καὶ ἐπιβὰς αὐτῷ ἔπληξεν αὐτὸν ξίφει κατὰ τῆς πλευρᾶς[5]), οὐκ ἀνῄρησε[6]) δὲ αὐτόν. γίνεται οὖν θρύλλος μέγας ἐν τῷ θεάτρῳ. ὁ οὖν Παυσανίας ἔσπευσεν εἰς τὸ παλάτιον ἁρπάσαι τὴν fol. 201ᵇ Ὀλυμπιάδα. συνέβη οὖν νικηφόρον ἐπανελθεῖν τὸν Ἀλέξανδρον αὐτῇ τῇ ἡμέρᾳ ἐκ τοῦ πολέμου, καὶ ὁρᾷ μεγίστην ταραχὴν ἐν τῇ πόλει καὶ ἠρώτησεν τί τὸ γεγονός. καὶ λέγουσιν αὐτῷ, ὅτι Παυσανίας εἰς τὸ παλάτιόν ἐστιν, θέλων ἁρπάσαι Ὀλυμπιάδα τὴν μητέρα σου. καὶ εὐθέως εἰσέρχεται μεθ' ὧν ἐτύγχανεν ὑπερασπιστῶν αὐτοῦ, καὶ συλλαμβάνει τὸν Παυσανίαν, κατέχοντα τὴν Ὀλυμπιάδα μετὰ βίας μεγάλης, κραυγαζούσης τῆς Ὀλυμπιάδος. καὶ ἐβουλήθη Ἀλέξανδρος μετὰ λόγχης δοῦναι (πληγὴν) αὐτῷ, καὶ δέδοικε μή πως καὶ τὴν μητέρα ἑαυτοῦ πατάξει· κατεῖχεν γὰρ αὐτὴν[7]) βίᾳ πολλῇ. ὁ δὲ Ἀλέξανδρος ἀποσπάσας τὸν Παυσανίαν ἀπὸ τῆς μητρὸς αὐτοῦ, ἔπληξεν αὐτὸν[8]) λόγχῃ ᾗ κατεῖχεν. μαθὼν δὲ τὸν Φίλιππον ἔτι

---

10) πορεύεσθαι· 11) ἔλαβαις 12) μήτε 13) μπέμψαντα 14) δέδωκαν 15) die worte πρὸς τ. ἐκτ. — Ἀλεξ. sind wol hinter ζωγράφῳ zu stellen 16) θρακώων **24.** 1) θεσαλονικαίων· 2) γαμιθῆναι 3) πέψας 4) τῶ φιλίππω 5) πλευρῆς· 6) ἀναιρησε 7) αὐτῇ 8) αὐτῷ

ἔμπνουν ὄντα, προcελθὼν αὐτῷ λέγει· πάτερ, τί βούλει περὶ Παυcανίου; ὁ δὲ εἶπεν· ἐνέγκατέ μοι αὐτὸν ὧδε. καὶ ἀγαγόντες[9]) αὐτόν, λαβὼν ὁ Ἀλέξανδρος μάχαιραν εἰcέθηκε εἰc τὴν χεῖρα Φιλίππου τοῦ πατρὸc αὐτοῦ, καὶ προcήνεγκεν αὐτῷ[10]) τὸν Παυcανίαν. καὶ κρατήcαc αὐτὸν Φίλιπποc ἔcφαξεν αὐτόν· καὶ λέγει Φίλιπποc τῷ Ἀλεξάνδρῳ· τέκνον Ἀλέξανδρε, οὐ λυποῦμαι ὅτι τελευτῶ· ἐξεδικήθην γὰρ ἐγὼ οὕτωc ἀνελὼν τὸν ἐχθρόν μου. καλῶc οὖν εἶπε Ἄμμων ὁ Λιβύηc θεὸc Ὀλυμπιάδι τῇ μητρί cου· ἕξειc[11]) [γὰρ] κατὰ γαcτρὸc ἄρρενα παῖδα ὃc ἐκδικήcει τὸν πατρὸc[12]) αὐτοῦ θάνατον.[13]) καὶ οὕτωc εἰπὼν Φίλιπποc ἀπέπνευcεν. θάπτεται δὲ βαcιλικῶc, ὅληc τῆc Μακεδονίαc cυνελθούcηc. fol. 202ᵃ

Cap. 25.

Ἐλθούcηc δὲ τῆc πόλεωc Πέλληc εἰc εὐcτάθειαν ἀνέρχεται ὁ Ἀλέξανδροc ἐπὶ τὸν τοῦ πατρὸc αὐτοῦ Φιλίππου ἀνδριάντα, καὶ βοήcαc μέγα εἶπεν· ὦ παῖδεc Πελλαίων καὶ Μακεδόνων καὶ Ἑλλήνων καὶ Ἀμφικτυόνων καὶ Θηβαίων καὶ Ἀθηναίων cυνέλθετέ μοι τῷ cυcτρατιώτῃ ὑμῶν[1]) καὶ ἐμπιcτεύcατέ μοι ἑαυτούc, ὅπωc καταcτρατευcώμεθα τοῖc βαρβάροιc καὶ ἑαυτοὺc ἐλευθερώcωμεν τῆc τῶν Περcῶν δουλείαc, ἵνα μὴ Ἕλληνεc ὄντεc βαρβάροιc δουλεύωμεν. καὶ ταῦτα εἰπόντοc τοῦ Ἀλεξάνδρου ἐκτίθεται[2]) κατὰ πᾶcαν πόλιν διατάγματα βαcιλικά. cυναθροιcθέντεc[3]) οὖν ἐκ πάντων τῶν χώρων παρεγένοντο[4]) εἰc Μακεδονίαν αὐθαίρετοι, πάντεc ὡc[5]) ὑπὸ θεοπέμπτου φωνῆc μετακληθέντεc[, καὶ ἐcτρατεύοντο]. ἀνοίξαc δὲ ὁ Ἀλέξανδροc τὴν τοῦ πατρὸc ὁπλοθήκην μετέδωκε τοῖc νέοιc τὴν πανοπλίαν· ἤγαγε δὲ καὶ πάνταc τοὺc τοῦ πατρὸc αὐτοῦ Φιλίππου ὑπεραcπιcτάc, γηραιοὺc τυγχάνονταc ἤδη[6]), καὶ λέγει αὐτοῖc· πρεcβῦται καὶ ἄλκιμοι cυcτρατιῶται, καταξιώcατε κοcμῆcαι τὴν Μακεδόνων cτρατείαν καὶ cυcτρατεύcαcθε ἡμῖν εἰc τὸν πόλεμον. οἱ δὲ εἶπον· Ἀλέξανδρε βαcιλεῦ, ἡμεῖc προέβημεν τῇ ἡλικίᾳ, cυcτρατευόμενοι[7]) τῷ πατρί cου Φιλίππῳ τῷ βαcιλεῖ, καὶ οὐκ ἔcτιν ἡμῖν ἔτι[8]) cθεναρὸν τὸ cῶμα πρὸc ἀντιπάλουc· διὸ παραιτούμεθα τὴν ἐπὶ cοῦ cτρατείαν. ὁ δὲ Ἀλέξανδροc εἶπεν πρὸc αὐτούc· ἀλλ' ἐγὼ μᾶλλον[9]) cυcτρατεύομαι ὑμῖν, εἰ καὶ γηραλέοι[10]) τυγχάνετε[11])· πολὺ[12]) γὰρ τὸ γῆραc ἰcχυρότερον τῆc νεότητοc ἔφυ[13])· ἡ[14]) γὰρ πολλάκιc ἡ ἡλικία νεάζουcα πεποιθυῖα τῇ τοῦ cώματοc ἀλκῇ[15]), ἐκτραπεῖcα εἰc ἀβουλίαν ἕλκεται καὶ ἐξάπινα κινδυνεύει· ὁ δὲ πρεcβύτηc πρότερον λογιcάμενοc ἐπὶ τὸ ὁρμᾶν καθυcτερεῖ τῇ γνώμῃ μεταλλαγῆναι[16]) τοῦ κινδύνου. ὑμεῖc οὖν, πατέρεc, cυcτρατεύcαcθε[17]) ἡμῖν, οὐχ ὡc ἀντιταccόμενοι τοῖc πολεμίοιc, ἀλλὰ προτρεπόμενοι τοὺc νέουc γενναίωc. ἀμφοτέ- fol. 202ᵇ fol. 203ᵃ

---

9) ἀγαγώντεc 10) αὐτὸν 11) ἕξηc 12) πατέρα 13) θανάτου·
25. 1) ἡμῶν 2) ἐκτίθετε 3) cὺν αγθριcθέντεc 4) παρεγένοντω 5) αὐθέρετοι πάντεc· ὡc 6) ἤδει· 7) cυcτρατοιόμενοι 8) ἔcτιν 9) μᾶλον 10) γηραλαίοι 11) τυγχάνεται· 12) πολλοὶ 13) ἔφη· 14) ἡ (εἰ?) 15) ὁλκῇ 16) μεταλλαγῆναι 17) cυcτρατεύcαcθαι

ρων[18]) γὰρ ἡ βοήθεια .....[19]) συνεπισχύσει ταῖς φρεσὶ τὸ στρατόπεδον[20])· καὶ γὰρ τὸ πολεμεῖν τοῦ νοεῖν χρείαν ἔχει· πρόδηλον γάρ ἐστι † πρὸς την μάχυν (leg. μάχην) γινώσκοντας· ὅτι καὶ αὐτῶν ἡ σωτηρία, τῆς περὶ τῆς πατρίδος ἐστὶν νίκης· † οἱ γὰρ πολέμιοι[21]) (ἡττηθέντων) ἡμῶν ἐπὶ τὴν ἄχρηστον ἡλικίαν ἐπελεύσονται· νικησάντων δέ, ἡ νίκη ἐπὶ τὴν τῶν συμβουλευτῶν ἀνακάμπτει[22]) γνώμην. καὶ τοῦτο εἰπὼν Ἀλέξανδρος ἔπεισε καὶ[23]) τοὺς ὑπεργηράσαντας (διὰ) τὸν αὐτοῦ λόγον ἀκολουθεῖν αὐτῷ.

Cap. 26.

Παραλαμβάνει τοίνυν Ἀλέξανδρος τὴν βασιλείαν Φιλίππου τοῦ πατρὸς αὐτοῦ, ὀκτὼ καὶ δέκα[1]) γεγονὼς ἐτῶν. τὸν δὲ θόρυβον τὸν γενόμενον ἐν τῷ τοῦ Φιλίππου θανάτῳ Ἀντίπατρος κατέπαυσεν, συνετὸς καὶ ἀγχίνους ὢν ἄνθρωπος. προσήγαγεν (γὰρ) τὸν Ἀλέξανδρον ἐν θώρακι[2]) εἰς τὸ θέατρον, καὶ πολλοὺς διεξῆλθε λόγους, εἰς εὔνοιαν Ἀλεξάνδρου τοὺς Μακεδόνας προσκαλούμενος. ἦν δὲ ὡς ἔοικε τοῦ πατρὸς αὐτοῦ Φιλίππου Ἀλέξανδρος εὐτυχέστερος καὶ μεγάλων εὐθέως ἠμφιάσατο πραγμάτων. καὶ συναγαγὼν πάντας τοὺς στρατιώτας τοῦ πατρὸς ἠρίθμησεν αὐτούς, καὶ εὗρεν ἄνδρας μυριάδας δύο, ἱππικοὺς καὶ θώραξιν ὡπλισμένους[3]) χιλιάδας[4]) ὀκτώ, καὶ πεζοὺς χιλιάδας ιε΄, καὶ Θρᾷκας[5]) χιλιάδας πέντε, Ἀμφικτυόνων[6]) καὶ Λακεδαιμονίων[7]) (καὶ) Κορινθίων[8]) καὶ Θεσσαλονικέων[9]) εὗρεν μυριάδας γ΄. συναριθμήσας δὲ πάντας τοὺς παρόντας αὐτοῦ εὗρεν χιλιάδας ο̄, καὶ τοξότας χιλιάδας (ς) πεντακοσίους ἐνενήκοντα. Ἰλλυρικῶν[10]) δὲ καὶ Παιόνων[11]) καὶ Τριβαλλῶν[12]) τῆς ἀρχῆς ἀποστάντων κατ' αὐτῶν ἐστρατεύσατο. πολεμούντων δὲ τοῖς ἔθνεσι τούτοις, ἐνεωτέρισεν ἡ Ἑλλάς.

fol. 203b

Cap. 27.

Φήμης δὲ γενομένης, ὅτι τέθνηκεν[1]) Φίλιππος, ...[2]) καὶ ἀγανακτήσας ἐπέβη τοῖς Θηβαίοις. (σημεῖα δὲ τοῖς Θηβαίοις) τῶν μελλόντων κακῶν ἐγένετο· τὸ γὰρ τῆς Δημήτρας ἱερὸν ἀράχνη περιεκάλυψεν[3]), τό τε τῆς Δίρκης[4]) καλούμενον ὕδωρ αἱματῶδες[5]) ἐγένετο. λαβὼν δὲ ὁ βασιλεὺς κατέσκαψεν τὴν πόλιν πᾶσαν τηρήσας μόνην οἰκίαν τὴν Πινδάρου. φασὶ δὲ ὅτι καὶ τὸν αὐλητὴν[6]) Ἰσμηνίαν[7]) ἐπηνάγκασεν ἐπαυλῆσαι τῇ πόλει κατασκαπτομένῃ. φοβηθέντες οὖν οἱ Ἕλληνες ἡγεμόνα[8]) χειροτονοῦσιν Ἀλέξανδρον, καὶ τὴν ἀρχὴν αὐτῷ παρέδωκαν τῆς Ἑλλάδος.

---

18) ἀφοτέρων 19) in der hs. keine lücke. 20) στρατοπαιδον· 21) πόλεμοι 22) ἀνακάμπτη 23) πάντας (für ἐπ. κ.) **26.** 1) δεκα 2) θόρακι 3) ὀπλισμένους 4) χιλλιάδας 5) θράκους 6) ἀφηκτηώνων 7) λακοδαιμονίων 8) κορινθέων· 9) θεσαλωνικαίων 10) ἡ λυρικῶν 11) πεόνων 12) τριβ.. **27.** 1) τέθνικεν 2) In der hs. die lücke nicht angedeutet. 3) περὶ ἐκάληψεν· 4) δόρκης 5) αἱματόδες 6) αὐλίτην 7) εἰς μηνίαν 8) ἡγεμῶνα,

Cap. 28.

Ὁ δὲ παραγενόμενος εἰς τὴν Μακεδονίαν τὰ πρὸς τὴν ἀνάβασιν τὴν πρὸς τὴν Ἀσίαν ἡτοιμάζετο[1]) ναυπηγήσας λιβέρνους καὶ τριήρεις καὶ ναῦς μαχίμας[2]) πλείστας, καὶ ἐποίησεν ἐπιβῆναι ἐν αὐταῖς[3]) πάντα τὰ στρατεύματα καὶ τὰ ἅρματα αὐτῶν σὺν τεύχεσι fol. 204ᵃ παντοδαποῖς. καὶ λαβὼν χρυσίου τάλαντα μυριάδας (πέντε) [κελεύει καὶ] ἔρχεται ἐπὶ τὰ Θρᾳκῶα μέρη, καὶ ἐκεῖθεν παραλαβὼν ἄνδρας ἐπιλέκτους πεντακισχιλίους καὶ χρυσίου τάλαντα πεντακόσια. πᾶσαι δὲ αἱ πόλεις ὑπεδέχοντο αὐτὸν στεφανοῦσαι. γενόμενος δὲ περὶ τὸν Ἑλλήσποντον[4]) † ἀφήκετο * τῶν νηῶν· ἐκ τῆς εὐρώπης εἰς τὴν ἀσίαν· † καὶ πήξας τὸ δόρυ[5]) δορίκτητον[6]) ἔφη ἔχειν τὴν Ἀσίαν. ἔνθεν οὖν ἧκεν Ἀλέξανδρος ἐπὶ τὸν καλούμενον Γρανικὸν ποταμόν·[7]) τοῦτον δὲ[8]) ἐφύλαττον σατράπαι Δαρείου. γενναίας δὲ μάχης γενομένης ἐκράτησεν[9]) Ἀλέξανδρος, καὶ λάφυρα[10]) λαβὼν ἐξ αὐτῶν ἔπεμψε τοῖς (ἐν) Ἀθήναις καὶ τῇ μητρὶ αὐτοῦ Ὀλυμπιάδι δῶρον. δόξαν δὲ αὐτῷ τὰ παραθαλάσσια πρῶτα ὑποτάξαι τὴν Ἰωνίαν ἐκτήσατο καὶ μετὰ ταῦτα τὴν Καρίαν, μεθ' ἣν[11]) Λυδίαν καὶ τοὺς ἐν Σάρδεσι θησαυροὺς ἔλαβεν. εἷλεν δὲ Φρυγίαν καὶ Λυκίαν τήν τε Παμφυλίαν[12]), ἐν ᾗ παράδοξον ἐγένετο· ναῦς γὰρ οὐκ ἔχων Ἀλέξανδρος, μέρος τι τῆς θαλάσσης ὑπεχώρησεν[13]), ἵνα ἡ πεζὴ δύναμις διέλθοι.

Cap. 29.

Καὶ διελθὼν[1]) ἦλθεν (εἰς τὴν Ἄσπενδον), ἔνθα[2]) ἦσαν αἱ τῶν πλοΐμων[3]) αὐτοῦ δυνάμεις. καὶ διεπέρασεν καὶ ἦλθεν εἰς Σικελίαν. καί τινας ἀντιτιθοῦντας (ἑαυτοὺς) αὐτῷ ὑποτάξας διεπέρασεν καὶ fol. 204ᵇ ἦλθεν εἰς τὴν Ἰταλικὴν χώραν. οἱ δὲ τῶν Ῥωμαίων στρατηγοὶ πέμπουσιν διὰ Μάρκου στρατηγοῦ αὐτῶν στέφανον διὰ μαργαριτῶν καὶ ἕτερον διὰ τιμίων λίθων, λέγοντες αὐτῷ· προσεπιστεφανοῦμέν σε, Ἀλέξανδρε, βασιλεῦ Ῥωμαίων καὶ πάσης γῆς, προσάγοντες αὐτῷ καὶ χρυσίου λίτρας[4]) πεντακοσίας. ὁ δὲ Ἀλέξανδρος δεξάμενος αὐτῶν τὴν εὐχαριστίαν ἐπηγγείλατο μεγάλους αὐτοὺς ποιεῖν τῇ δυνάμει· καὶ λαμβάνει παρ' αὐτῶν στρατιώτας τοξότας δισχιλίους[5]) καὶ τάλαντα τετρακόσια.

Cap. 30.

Κἀκεῖθεν διαπερᾷ καὶ παραγίνεται εἰς Ἀφρικόν. οἱ δὲ τῶν Ἀφρικῶν στρατηγοὶ ὑπήντησαν αὐτῷ * καὶ ἱκέτευον[1]) ἀποστῆναι fol. 205ᵃ ἀπὸ τῆς πόλεως αὐτῶν Καρταγένης (sic). ὁ δὲ Ἀλέξανδρος τῆς

---

28. 1) ἑτοιμάζετο 2) μαχήμας 3) αὐτὰς· 4) ἐλλίσποντον * gemeint ist wol ἀφίκετο ἀπὸ τῶν νεῶν κτλ. vielleicht ist jedoch zu lesen: ἀφῆκε τὸ (δόρυ καὶ ἀφήλατο πρῶτος ἀπὸ) τῶν νεῶν ἐκ κτλ. 5) δόρι· 6) δόρικτητὸν 7) ποταμῶν· 8) γὰρ 9) ἐκράτειςεν 10) λάφυρα 11) ὧν 12) πανμφυλίαν 13) ὑπεχώρισεν **29.** 1) δεὶ ἐλθῶν 2) ἐν ὧ 3) πλοίμων 4) λύτρας 5) δισχιλλίους· **30.** * das hier folgende stück s. am ende. 1) ἱκετεύων

ἀδρανείας[2]) αὐτῶν καταγνοὺς εἶπε πρὸς αὐτούς· ἢ κρείττονες γίνεσθε, ἢ τοῖς κρείττοσιν ὑμῶν φόρους τελεῖτε.

Κἀκεῖθεν ἀναζεύξας πᾶσαν τὴν Λιβύην[3]) ὑπερθέμενος εἰς τὸ[4]) fol. 205ᵇ Ἀμμωνιακὸν παρεγένετο· καὶ ἐμβαλόμενος τὰ πλεῖστα πλήθη τῶν στρατοπέδων εἰς τὰς ναῦς κελεύει αὐτοὺς ἀποπλεῖν καὶ περιμένειν[5]) εἰς τὴν Πρωτηίδα[6]) νῆσον αὐτόν. (αὐτὸς) δὲ[7]) θῦσαι τῷ Ἄμμωνι ἀπῆλθεν, ὡς ἐξ Ἄμμωνος ὄντα αὐτὸν γεγεννημένον.[8]) καὶ προσευχόμενος εἶπεν· πάτερ Ἄμμων, εἰ ἀληθεύει[9]) ἡ τεκοῦσά με ὡς ἐκ σοῦ γεγεννῆσθαι[10]), χρησμῴδησόν[11]) μοι. καὶ θεωρεῖ Ἀλέξανδρος τὸν Ἄμμωνα τῇ μητρὶ αὐτοῦ Ὀλυμπιάδι περιπλακέντα καὶ λέγοντα αὐτῷ· τέκνον Ἀλέξανδρε ἐμοὶ σπορᾶ[12]) πέφυκας. μαθὼν δὲ τὴν ἐνέργειαν[13]) τοῦ Ἄμμωνος Ἀλέξανδρος ἐπισκιάζει αὐτοῦ τὸ τέμενος καὶ τὸ ξόανον αὐτοῦ περιεχρύσωσε[14]), καὶ ἐπιγράψας τῇ αὐτοῦ ἐπιγραφῇ ἀνιέρωσε· πατρὶ θεῷ Ἄμμωνι Ἀλέξανδρος ἀνέθετο. ἠξίου δὲ καὶ χρησμὸν λαβεῖν παρ' αὐτοῦ, ποῦ κτίσει πόλιν κατὰ τὸ ὄνομα τῆς ὀνομασίας αὐτοῦ, ὅπως ἀειμνημόνευτος μείνῃ ἡ πόλις. καὶ εἶδεν αὐτὸν τὸν Ἄμμωνα γηραιὸν χρυσοχαίτην κέρα κριοῦ[15]) ἔχοντα κατὰ τῶν κροτάφων λέγοντα αὐτῷ·

Ὦ βασιλεῦ[16]), σοὶ[17]) Φοῖβος ὁ μηλόκερως[18]) ἀγορεύει·
εἴ γε θέλεις[19]) αἰῶσιν ἀγηράτοισι[20]) νεάζειν,
κτίζε πόλιν περίφημον ὑπὲρ Πρωτηίδα[21]) νῆσον,
† ἧς προκαθέζεται αἰῶν πλουτούνιος αὐτὸς ἀνάσσων· †

fol. 206ᵃ Τοῦτον δὲ τὸν χρησμὸν λαβὼν Ἀλέξανδρος ἀνεζήτει[22]) ποίαν[23]) νῆσον δηλοῖ τὴν Πρωτηίδα[21]), τίς δέ ἐστιν ὁ προκαθεζόμενος θεός. ὡς δὲ ἀνεζήτει Ἀλέξανδρος, θύσας πάλιν Ἄμμωνι[24]) τὴν ὁδοιπορίαν[25]) ἐποιεῖτο ἐπί τινα κώμην τῆς Λιβύης, ἐν ᾗ τὰ στρατεύματα ἀνέπαυσεν.

Cap. 31.

Καὶ δὴ περιπατοῦντος τοῦ Ἀλεξάνδρου ἔλαφος μεγίστη παρελθοῦσα εἴς τινα φωλεὸν[1]) ἔδυσεν. φωνήσας δὲ Ἀλέξανδρος (τοξότην ἐκέλευσε τοξεύειν τὸ ζῶον. ὁ δὲ τοξότης τείνας τὸ τόξον οὐκ ἐπέτυχε τῆς ἐλάφου· ὁ δὲ Ἀλέξανδρος) εἶπεν αὐτῷ· ἄνθρωπε, παράτονόν σοι γέγονεν. ἔνθεν οὖν ὁ τόπος[2]) ἐκεῖνος ἐκλήθη Παρατονή, διὰ τὴν τοῦ Ἀλεξάνδρου ἐκβόησιν. κτίσας οὖν ἐκεῖ πόλιν μικράν, καλέσας ἐκ τῶν ἐγχωρίων τινὰς λαμπροὺς ἄνδρας κατῴκισεν[3]) αὐτοὺς ἐκεῖσε καλέσας αὐτὴν Παρατονήν.

Ἐκεῖθεν δὲ ὁδεύσας ἦλθε εἰς τὸ Ταφοσίριον. ἐπυνθάνετο οὖν παρὰ τῶν[4]) ἐγχωρίων, διὰ τί[5]) τὸ ὄνομα τοῦτο. οἱ δὲ ἔφησαν,

---

2) ἀδρανίας 3) λυβίην 4) τὸν 5) περιμένην 6) πρότιϊδα 7) νῆσον· αὐτὸν δὲ 8) γεγενημένον· 9) ἀλιθεύει 10) γεγενῆσθαι 11) χρησμόδησόν 12) σποράν (εἰς σπορ.?) 13) ἐνέργιαν 14) πέριεσχρυσωσε 15) κηρίκιον 16) ὁ βασιλεὺς 17) ὁ 18) μηλόκερος 19) θέλοις 20) ἀκηράτοις (ἀγηράντοισι?) 21) προτηῖδα 22) ἀνεζήτη 23) ποῖον 24) ἄμμωνα 25) ὁδιπορείαν **31.** 1) φολεῶν 2) τόνος 3) κατῴκησεν 4) τὸν 5) τη

τάφον Ὀσίριος[6]) εἶναι τὸ ἱερόν. καὶ † φθάσας ἰκεῖ τὴν ἄφιξιν· ἐποιῆτο τῆς ὁδοιπορίας· (θύσας ἐκεῖ τὴν ἄφιξιν ἐποιεῖτο τὸ τῆς ὁδοιπορίας? cf. A.) † καὶ παραγίνεται ἐπὶ τοῦ ἐδάφους τοῦ νῦν[7]), καὶ ὁρᾷ χώρημα μέγα εἰς ἄπειρον ἐκτεῖνον, δώδεκα κώμαις συνεχόμενον. ἀπὸ οὖν τῆς καλουμένης Πανδυσίας μέχρι τοῦ καλουμένου Ἡρακλεωτικοῦ[8]) στόματος τὸ μῆκος τῆς πόλεως Ἀλέξανδρος ἐχωρογράφησεν· τὸ δὲ πλάτος ἀπὸ τοῦ Βενδιδέου[9]) μέχρι τῆς μικρᾶς Ὁρμουπόλεως· οὐ καλεῖται[10]) δὲ Ἑρμούπολις[11]) (ἀλλὰ Ὁρμούπολις[12])), ὅτι πᾶς ὁ κατερχόμενος ἐκεῖ προσορμεῖ. μέχρι οὖν ἐκείνου τοῦ τόπου ἐχωρογράφησεν τὴν πόλιν Ἀλέξανδρος ὁ βασιλεύς· ὅθεν μέχρι τῆς δεῦρο ἡ[13]) Ἀλεξανδρέων χώρα ἀναγράφεται. fol. 206b

Συνεβούλευσε δὲ τῷ βασιλεῖ Ἀλεξάνδρῳ Κλεομένης ὁ Ναυκρατίτης, καὶ Νομοκράτης Ῥόδιος, μὴ τῷ μεγέθει τούτῳ κτίσαι πόλιν· οὐ γὰρ δυνήσῃ γεμίσαι αὐτὴν ὄχλου[14])· ἐὰν δὲ καὶ πληρώσῃς, οὐ δυνήσονται οἱ ὑπηρέται τὴν χρείαν[15]) αὐτῇ τῶν ἐπιτηδείων[16]) παρασχεῖν. πολεμήσουσιν δ' ἑαυτοὺς[17]) οἱ ἐν τῇ πόλει κατοικοῦντες, ὡς τοιαύτης (ὥς τοι αὐτῆς?) ὑπερμεγέθους τυγχανούσης καὶ ἀπείρου[18])· αἱ γὰρ μικραὶ πόλεις εὐσύμβουλοί εἰσι καὶ πρὸς τὰ συμφέροντα τῇ πόλει συμβουλεύουσι· ἐὰν δὲ οὕτως ὡς διεγράψω μεγίστην[19]) αὐτὴν κτίσῃς, οἱ κατοικοῦντες ἐν αὐτῇ διχοστατήσουσιν, εἰς ἀλλήλους διαφερόμενοι, ἀπείρου ὄχλου τυγχάνοντος.

Πεισθεὶς δὲ Ἀλέξανδρος ἐπέτρεψε[20]) τοῖς ἀρχιτέκτοσιν[21]) οἷς βούλονται μέτροις τὴν πόλιν κτίζειν. οἱ δὲ κελευσθέντες ὑπὸ τοῦ βασιλέως Ἀλεξάνδρου χωρογραφοῦσι τὸ μῆκος τῆς πόλεως ἀπὸ τοῦ Δράκοντος τοῦ κατὰ τὴν Ταφοσιριακὴν[22]) ταινίαν[23]), μέχρι τοῦ Ἀγαθοδαίμονος[24]) ποταμοῦ τοῦ κατὰ Κάνωβον[25]) καὶ ἀπὸ τοῦ Βενδιδείου[26]) μέχρι τοῦ Εὐρυλόφου[27]) καὶ Μελανθίου, τὸ πλάτος. καὶ κελεύει Ἀλέξανδρος μεταβῆναι τοὺς κατοικοῦντας ἐν τοῖς τόποις τούτοις, καὶ ἐν[28]) ταῖς κώμαις, καὶ ἐπιέναι[28]) πρὸ τριάκοντα μιλίων τῆς πόλεως ἔξω, χωρήματα αὐτοῖς χαρισάμενος, προσαγορεύσας αὐτοὺς Ἀλεξανδρεῖς. ἦσαν δὲ ἀρχιτέκτονες[29]) τῶν κωμῶν Εὐρύλοφος[30]) καὶ Μελάνθιος[31]), ὅθεν καὶ ἡ ὀνομασία ἔμεινεν. fol. 207a

Σκέπτεται[32]) δὲ Ἀλέξανδρος καὶ ἑτέρους ἀρχιτέκτονας τῆς πόλεως, ἐν οἷς ἦν Νουμήνιος ὑδατικὸς λατόμος καὶ Κλεομένης μηχανικὸς Ναυκρατίτης καὶ Καρτερὸς Ὀλύνθιος. εἶχε δὲ ἀδελφὸν ὁ Νουμήνιος, ὀνόματι Ὑπόνομον.[33]) οὗτος συνεβούλευσεν τῷ Ἀλεξάνδρῳ τὴν πόλιν ἐκ θεμελίων κτίσαι[34]), ἐν αὐτῇ δὲ καὶ ὑδρη-

6) ὁ σίριος 7) νῆν· 8) ἡρακλεοτικοῦ 9) βενδιλέου 10) καλεῖτε 11) ἑρμούπολις 12) das eingeklammerte am rande mit blässerer tinte. 13) ἢ 14) ὄχλον· 15) χρίαν 16) ἐπιδήμων 17) δὲ αὐτοὺς 18) ἀπήρου· 19) μεγίστιν 20) ἐπέστρεψε 21) ἀρχητέκτοσιν 22) ταφοσιαρικὴν 23) τενέαν· 24) ἀγαθοδέμονος 25) τοῦ κατανώβον· 26) βενδιδίου 27) εὐρόφου 28) εἰς τὰς κώμας· καὶ ἀπιέναι 29) ἀρχαίποδες 30) εὐρήληχος· 31) μέλανθος· 32) σκέπταιται 33) ὑπόνομος· 34) κτῆσαι

γοὺϲ πόρουϲ καὶ ὀχετηγοὺϲ ἐπιρρέονταϲ[35]) εἰϲ τὴν θάλαϲϲαν. καλεῖται[36]) δὲ Ὑπόνομοϲ διὰ τὸ ὑποδεῖξαι[37]) ταῦτα.

Cap. 32.

Κελεύει οὖν Ἀλέξανδροϲ, χωρογραφηθῆναι τὸ περίμετρον τῆϲ πόλεωϲ πρὸϲ τὸ θεάϲαϲθαι αὐτό.[1]) οἱ οὖν τεχνῆται ἄλευρον fol. 207b πύρινον λαβόντεϲ ἐχωρογράφηϲαν τὴν πόλιν, καταπτάντα[2]) δὲ ὄρνεα παντοδαπὰ κατεβοϲκήθηϲαν τὰ ἄλευρα καὶ ἀνέπτηϲαν. ϲυμφοραζόμενοϲ (ϲυμφραζόμενοϲ?) δὲ Ἀλέξανδροϲ περὶ τούτου, τί ἄρα δηλοῖ τὸ ϲημεῖον, μετεπέμψατο ϲημειολύταϲ καὶ εἶπεν αὐτοῖϲ τὸ γεγονόϲ. οἱ δὲ ἔφηϲαν· ὅτι ἡ πόλιϲ ἣν ἐκέλευϲαϲ κτιϲθῆναι[3]), βαϲιλεῦ, ὅλην τὴν οἰκουμένην θρέψει[4]), καὶ πανταχοῦ ἔϲονται οἱ ἐν αὐτῇ γεννηθέντεϲ ἄνθρωποι· τὰ γὰρ πετεινὰ πᾶϲαν τὴν οἰκουμένην περικυκλοῦϲιν.

Ἐκέλευϲεν οὖν κτίζεϲθαι τὴν πόλιν. θεμελιώϲαϲ δὲ τὸ πλεῖϲτον μέροϲ τῆϲ πόλεωϲ Ἀλέξανδροϲ καὶ χωρογραφήϲαϲ[5]) ἐπέγραψε[6]) γράμματα πέντε· α̅ β̅ γ̅ δ̅ ε̅· τὸ μὲν α̅ Ἀλέξανδροϲ, τὸ δὲ βῆτα βαϲιλεύϲ, τὸ δὲ γάμμα γένοϲ, τὸ δὲ δέλτα Διόϲ, τὸ δὲ ε, ἔκτιϲεν[7]) πόλιν ἀμίμητον (sic). ὑποζύγια δὲ καὶ ἡμίονοι εἰργάζοντο. ἱδρυμένου δὲ τοῦ πυλῶνοϲ τοῦ ἱεροῦ, ἐξαίφνηϲ δὲ πλὰξ μεγίϲτη ἐξέπεϲεν ἀρχαιοτάτη[8]), πλήρηϲ[9]) γραμμάτων, ἐξ ἧϲ καὶ ἐξῆλθον[10]) ὄφειϲ πολλοί, καὶ ἑρπύζοντεϲ[11]) εἰϲῆλθον εἰϲ τὰϲ ὁδοὺϲ τῶν ἤδη[12]) τεθεμελιωμένων[13]) οἰκιῶν. [τὴν πόλιν γὰρ ἔτι παρὼν[14]) ὁ Ἀλέfol. 208a ξανδροϲ καθίδρυϲεν[15]) τύβι[16]) ἤτοι ἰαννουαρίῳ νεομηνίᾳ, καὶ αὐτὸ[17]) τὸ ἱερόν.] ὅθεν τούτουϲ τοὺϲ ὄφειϲ ϲέβονται οἱ θυρωροὶ ὡϲ ἀγαθοὺϲ δαίμοναϲ, εἰϲιόνταϲ εἰϲ τὰϲ οἰκίαϲ· οὐ γάρ εἰϲι ἰοβόλα ζῶα. ϲτεφανοῦϲι δὲ καὶ τὰ κτήνη[18]) ἀνάπαυϲιν αὐτοῖϲ παρεχόμενοι· ὅθεν (μέχρι) τοῦ δεῦρο τὸν νόμον φυλάττουϲιν οἱ Ἀλεξανδρεῖϲ, πέμπτῃ καὶ εἰκάδι τὴν ἑορτὴν ἐκτελοῦντεϲ.

Cap. 33.

Εὗρεν δὲ Ἀλέξανδροϲ ἐν τοῖϲ ὑψηλοῖϲ[1]) λόφοιϲ λεῖον (ναὸν?) ἱδρυμένον[2]), καὶ τοὺϲ ἡλίου[3]) ϲτύλουϲ, καὶ (κατὰ?) τὸ ἡρῷον. ἐζήτει δὲ καὶ τὸ Σαραπεῖον, κατὰ τὸν δοθέντα αὐτῷ[4]) χρηϲμόν[5]) παρὰ τοῦ Ἄμμωνοϲ, εἰπόντοϲ αὐτῷ διὰ τοῦ χρηϲμοῦ οὕτωϲ·

Ὦ βαϲιλεῦ [ἀλέξανδρε·], ϲοὶ Φοῖβοϲ[6]) (ὁ) μηλόκερωϲ[7]) ἀγορεύει·
εἴγε θέλειϲ[8]) αἰῶϲιν ἀγηράτοιϲι[9]) νεάζειν,
κτίζε πόλιν περίφημον ὑπὲρ Πρωτηίδα νῆϲον[10]),

---

35) ἐπὶ ῥέονταϲ 36) καλεῖτε 37) ὑποδέξαι **32.** 1) αὐτόν· 2) κατὰ πάντα 3) so von jüngerer hand corrigiert aus κτιϲτῆναι 4) θρέψαι· 5) χορογραφήϲαϲ 6) ἔπεμψε 7) ἔκτηϲεν 8) ἀρχαιωτάτη· 9) πλῆρειϲ 10) ἐξῆλθε 11) ἑρπίζοντεϲ 12) ἤδει 13) τεθεμελιομένων 14) περὶ ὧν 15) καθήδρυϲεν 16) τι μὴ 17) αὐτῷ 18) κτήνει

33. 1) ὑψιλοῖϲ 2) ἱδρύμενον· 3) ἤλωναϲ 4) τῷ· 5) χρηϲμῷ 6) ϲύφοιβοϲ 7) μηλόκεροϲ 8) εἴ γ εθέλειϲ 9) ἀκηράτοιϲ 10) πρωτη ἴδανῆϲον·

†ἧc προκάθητε αἰὼν πλουτοῦντος αὐτοῖς ἀνάccων·†
πενταλόφοις[11]) κορυφαῖςιν[12]) ἀτέρμονα[13]) κόcμον ἑλίccων.

Ἐζήτει οὖν Ἀλέξανδρος τὸν πάντα δεχόμενον· καὶ ἐποίηcεν ἀπέναντι τοῦ ἡρῴου βωμὸν μέγαν[14]), ὃc νῦν καλεῖται βωμὸc Ἀλεξάνδρου πολυτελὴc (πολυτελῆ?), ἐν ᾧ θυcίαν ἐθέcπιcεν. καὶ προcευξάμενος εἶπεν· ὅτι μὲν οὖν τυγχάνει θεὸc προνοούμενος ταύτης τῆc χθονὸc καὶ τὸν ἀτέρμονα[13]) κόcμον ἐπιδέρκει, φανερὸν τοῦτο· αὐτὸc οὖν πρόcδεξαί μου τὴν θυcίαν, καὶ βοηθόc μου γενοῦ εἰc τοὺc πολέμους. καὶ ταῦτα εἰπὼν ἐπέθηκε τὰ ἱερεῖα ἐπὶ τοῦ βωμοῦ. αἰφνίδιον δὲ μέγιcτος ἀετὸc καταπτὰc ἥρπαcε τὰ cπλάγχνα (fol. 208b) τοῦ θύματος[15]) καὶ διὰ τοῦ ἀέρος[16]) ἐφέρετο· καὶ ἀφῆκεν αὐτὰ ἐν ἑτέρῳ βωμῷ. καταcκοπήcαc[17]) δὲ ὁ Ἀλέξανδρος τὸν τόπον παραγενόμενος ἐν τάχει εἶδε[18]) τὰ cπλάγχνα ἐπὶ τοῦ βωμοῦ κείμενα, τὸν[19]) δὲ βωμὸν ὑπὸ ἀρχαίων καθιδρυνθέντα, καὶ cηκὸν καὶ ξόανον ἔνδον προκαθεζόμενον[20]), καὶ τῇ δεξιᾷ χειρὶ κομίζοντα θηρίον πολύμορφον, τῇ δὲ εὐωνύμῳ[21]) cκῆπτρον κατέχοντα· καὶ παρεcτήκει[22]) τῷ ξοάνῳ κόρης ἄγαλμα μέγιcτον. ἐπυνθάνετο οὖν τῶν ἐκεῖ κατοικούντων, τίc ἄρα ὁ ἐνταῦθα θεὸc τυγχάνει· οἱ δὲ ἔφηcαν μὴ εἰδέναι· παρειληφέναι[23]) δὲ ὑπὸ τῶν προπατέρων (sic), Διὸc καὶ Ἥρας ἱερὸν εἶναι· ἐν ᾧ καὶ τοὺc ὀβελίcκους ἐθεάcατο τοὺc μέχρι νῦν κειμένους ἐν τῷ Cαραπείῳ, ἔξω τοῦ περιβόλου τοῦ νῦν κειμένου· ἐν οἷc ἦν γράμματα κεχαραγμένα ἱερογλυφικὰ περιέχοντα οὕτωc· .....[24]) τὸ μὲν γέραc αὐτῆc (ταύτης?) τῆc πόλεωc· καλλίναος, ὑπερφέρουcα[25]) πλήθει[26]) ὄχλων πολλῶν· ἀέρων[27]) εὐκραcίαιc ὑπερβάλλουcα[28])· ἐγὼ δὲ προcτάτης ταύτης γενήcομαι, ὅπωc μὴ τὰ χαλεπὰ τελέωc ἐπιμείνῃ, ἢ λιμὸc ἢ cειcμόc, ἀλλ' ὡc ὄνειρος διαδραμοῦνται[29]) τὴν πόλιν. πολλοὶ δὲ βαcιλεῖc ἥξουcιν εἰc αὐτήν, οὐ πολεμήcοντεc, ἀλλὰ προcκυνῆcαι[30]) φερό- (fol. 209a) μενοι. cὺ δὲ ἀποθεωθεὶc προcκυνηθήcῃ νεκρὸc καὶ δῶρα λήψῃ[31]) ἐκ πολλῶν βαcιλέων πάντοτε, οἰκίcειc δὲ αὐτὴν καὶ θανὼν καὶ μὴ θανών· τάφον γὰρ ἕξειc αὐτὴν ἣν κτίζειc πόλιν. πειρῶ δέ cε[32]), Ἀλέξανδρε, τίc πέφυκα, cυντόμωc· δὶc ρ̅[33]) καὶ α̅ ψῆφον cυνθείc, εἶτα (ἑκατὸν καὶ μίαν) καὶ τετράκιc κ̅ καὶ ι̅, τὸ πρῶτον δὲ λαβὼν γράμμα [καὶ τετράκιc κ̅· καὶ δέκα·] ποίηcον εἰc ἔcχατον, καὶ τότε νοήcειc τίc ἐφάνθην.

Ταῦτα οὖν χρηματιcθεὶc εἰc ἑαυτὸν ἀνεχώρηcεν. Ἀλέξανδρος[34]) (δὲ) ὑπομνηcθεὶc τὸν χρηcμὸν ἐπέγνω (ὡc ὁ) Cάραπιc (εἴη). τὰ μὲν τῆc διαταγῆc τῆc πόλεωc οὕτωc ἔχει καθὼc διέταξεν Ἀλέξανδρος· ἐκτίζετο (δὲ) ἡ πόλιc ἡμέρᾳ καὶ ἡμέρᾳ κρατυνομένη.

---

11) πενταλόφου 12) κορυφέcιν 13) ἀτέρμωνα 14) μέγα· 15) θήματοc 16) ἄεροc von zweiter hand corrigiert aus ἔροc 17) jüngere correctur, urspr. κατακοπήcαc 18) ἴδε 19) τὸ 20) προκαθεζόμενοc· 21) εὐωνίμω 22) παρεcτηκυῖαν 23) παρηληφέναι 24) dass eine lücke anzunehmen, zeigt A. 25) ὑπὲρφρουρᾶ 26) πλήθουc 27) ἀέρον 28) ὑπὲρβάλουcα· 29) διαμαρμοῦνται· 30) προcκηνῆcαι 31) λήψει 32) cὲ δὲ 33) ρ̅ρ̅· 34) ἀνεχώρηcεν ἀλέξανδροc·

Cap. 34.

Ὁ δὲ Ἀλέξανδρος παραλαβὼν τὰ στρατεύματα ἐπείγετο εἰς τὴν Αἴγυπτον ἀπελθεῖν. καὶ ἐλθόντος αὐτοῦ εἰς Μέμφιν [1]) τὴν πόλιν, ἐνεθρονίασαν αὐτὸν οἱ Αἰγύπτιοι εἰς τὸ τοῦ Ἡφαίστου θρονιστήριον [2]), ὡς Αἰγύπτιον βασιλέα. ἰδὼν δὲ Ἀλέξανδρος ἐν τῇ Μέμφει [3]) ὑψηλὸν [4]) ἀνδριάντα ἀνιερωμένον ἐκ μέλανος λίθου, ἔχοντα ἐπιγραφὴν εἰς τὴν ἰδίαν [5]) αὐτοῦ βάσιν οὕτως [6])· ὁ φυγὼν βασιλεὺς ἥξει πάλιν ἐν Αἰγύπτῳ [7]), οὐ γηράσκων, ἀλλὰ νεάζων, καὶ τοὺς ἐχθροὺς ἡμῶν Πέρσας ὑποτάξει ἡμῖν. [8]) ἐπύθετο [9]) οὖν ὁ Ἀλέξανδρος, τίνος ἄρα ἐστὶν ὁ ἀνδριὰς οὗτος. οἱ δὲ προφῆται εἶπον αὐτῷ· οὗτος ὁ ἀνδριὰς ὁ ἔσχατος τῆς Αἰγύπτου βασιλεὺς Νεκτανεβώ· καὶ ἐλθόντων τῶν Περσῶν τὴν Αἴγυπτον πορθῆσαι, εἶδε [10]) διὰ τῆς μαγικῆς δυνάμεως τοὺς θεοὺς τῶν Αἰγυπτίων τὰ στρατόπεδα τῶν ἐναντίων προσοδηγοῦντας [11]), καὶ τὴν Αἴγυπτον [ὑπ᾽ αὐτῶν [12])] πορθουμένην· καὶ γνοὺς τὴν μέλλουσαν ἔσεσθαι ὑπ᾽ αὐτῶν προδοσίαν [13]) ἔφυγε. Ζητούντων δὲ ἡμῶν αὐτὸν καὶ ἀξιούντων τοὺς θεούς, ποῦ ἄρα ἔφυγεν ὁ βασιλεὺς ἡμῶν Νεκτανεβώ, ἐχρησμοδότησαν [14]) ἡμῖν, ὅτι οὗτος ὁ φυγὼν βασιλεὺς ἥξει πάλιν ἐν Αἰγύπτῳ, οὐ γηράσκων, ἀλλὰ νεάζων, καὶ τοὺς ἐχθροὺς ἡμῶν Πέρσας ὑποτάξει ἡμῖν. ἀκούσας δὲ ταῦτα ὁ Ἀλέξανδρος ἐμπηδήσας εἰς τὸν ἀνδριάντα περιπλέκεται αὐτῷ λέγων· οὗτος ὁ πατήρ μού ἐστιν, τούτου ἐγὼ υἱός εἰμι. οὐκ ἐψεύσατο ὑμᾶς ὁ τοῦ χρησμοῦ λόγος· καὶ θαυμάζω πῶς παρελήφθητε ὑπὸ τῶν βαρβάρων τείχη ἔχοντες ἀκαταμάχητα, μὴ δυνάμενα ὑπὸ τῶν πολεμίων καταβληθῆναι. ἀλλὰ τοῦτο τῆς ἄνω προνοίας [15]) ἐστὶ καὶ τῆς τῶν θεῶν δικαιότητος, ἵνα ὑμεῖς ἔχοντες εὔφορον (γῆν) καὶ γόνιμον ποταμὸν ἀχειροποίητον, ὑποτεταγμένοι ἐστὲ (sic) τοῖς μὴ ἔχουσι † δέρεα· καὶ βασιλεύεσθε· ἔθνησκον γὰρ οἱ βαρβάροι ταῦτα μὴ ἔχοντες· † καὶ ταῦτα εἰπὼν ᾔτησεν παρ᾽ αὐτῶν φόρους οὓς τῷ Δαρείῳ παρεῖχον, εἰπὼν αὐτοῖς οὕτως· (δότε μοι φόρους) οὐχ ἵνα εἰς τὸ ἴδιον ταμιεῖον [16]) ἀπενέγκωμαι, ἀλλ᾽ ἵνα δαπανήσω εἰς τὴν πόλιν ὑμῶν Ἀλεξάνδρειαν τὴν πρὸς Αἴγυπτον, μητρόπολιν δὲ οὖσαν ὅλης τῆς οἰκουμένης. καὶ οὕτως αὐτοῦ εἰπόντος ἀσμένως οἱ Αἰγύπτιοι ἔδωκαν [17]) χρήματα πολλά, καὶ μετὰ φόβου καὶ τιμῆς μεγάλης ἐξέπεμψαν αὐτὸν διὰ τοῦ Πηλουσίου. [18])

fol. 209b (margin, at: ξει ἡμῖν)

fol. 210a (margin, at: τεταγμένοι ἐστὲ)

Cap. 35.

Καὶ παραλαβὼν τὰ στρατόπεδα αὐτοῦ τὴν ὁδοιπορίαν ἐποιεῖτο εἰς Συρίαν. κἀκεῖθεν στρατολογήσας [1]) δισχιλίους [2]) ἄνδρας καταφράκτους παραγίνεται εἰς Τύρον. καὶ ἀντιτάσσονται αὐτῷ [3])

34. 1) μέμφην 2) θρονιειήριον· (?) 3) μέμφη· 4) ὑψιλὸν 5) ἰδείαν 6) οὗτος 7) ἐγύπτω· 8) ὑμῖν 9) Ἐπείθετο 10) ἴδε 11) πρόσοδιγοῦντας· 12) diese beiden worte randglosse 13) προδοσία 14) ἐχρισμοδότησαν 15) προνίας 16) ταμεῖον 17) δέδωκαν 18) πολουσίου· **35.** 1) so corrigiert aus στρατολογείσας 2) δισχιλλίους 3) αὐτῶν

οἱ Τύριοι, οὐκ ἐῶντες αὐτὸν διὰ τῆς πόλεως αὐτῶν[4]) διελθεῖν, διὰ χρησμόν τινα ἀρχαῖον δοθέντα αὐτοῖς τοιοῦτον· ὅταν ἐπέλθῃ[5]) ὑμῖν, Τύριοι, βασιλεύς, ἐπ' ἔδαφος ἡ πόλις ὑμῶν γενήσεται· ὅθεν καὶ ἀντέστησαν αὐτῷ, τοῦ μὴ εἰσελθεῖν ἐν τῇ πόλει αὐτῶν. ἀντιτάσσονται οὖν αὐτῷ, περιτειχίσαντες ὅλην τὴν πόλιν, καὶ κραταιᾶς[6]) μάχης γενομένης[7]) μεταξὺ αὐτῶν πολλοὺς ἀνεῖλον οἱ Τύριοι τῶν Μακεδόνων· καὶ ἡττηθεὶς (fol. 210b) ὁ Ἀλέξανδρος ὑποστρέφει εἰς Γάζαν. καὶ ἀνακτησάμενος ἑαυτὸν ἐζήτει τὴν Τύρον ἐκπορθῆσαι. ὁρᾷ δὲ καθ' ὕπνους[8]) τινὰ Ἀλέξανδρος[9]) λέγοντα[10]) ἑαυτῷ· Ἀλέξανδρε, μὴ δόξῃ σοι γενέσθαι[11]) ἄγγελον ἑαυτὸν εἰς Τύρον. ἀναστὰς δὲ τοῦ ὕπνου ἔπεμψεν εἰς Τύρον[12]) πρέσβεις μετὰ γραμμάτων αὐτοῦ, περιέχοντα (sic) οὕτως· Βασιλεὺς Ἀλέξανδρος υἱὸς Ἄμμωνος, καὶ Φιλίππου βασιλέως (παῖς), ἐγὼ δὲ βασιλεὺς μέγιστος Εὐρώπης[13]) τε καὶ πάσης Ἀσίας, Αἰγύπτου καὶ Λιβύης[14]), Τυρίοις[15]) τοῖς μηκέτι οὖσιν. ἐγὼ μὲν τὴν πορείαν[16]) ποιούμενος ἐπὶ τὰ μέρη Συρίας, μετὰ εἰρήνης καὶ εὐνομίας ἐβουλόμην εἴσοδον πρὸς ὑμᾶς ποιήσασθαι· εἰ δὲ ὑμεῖς οἱ Τύριοι πρῶτοι τυγχάνοντες ἀντιτάσσεσθε[17]) τῇ εἰσόδῳ[18]) ἡμῶν[19]) πορείαν ποιουμένων, καὶ μόνοι[20]) δι' ὑμῶν μαθόντες καὶ οἱ πολλοί, πόσον σθένουσιν Μακεδόνες πρὸς τὴν[21]) ὑμῶν ἀπόνοιαν, πτήξουσιν ὑποτασσόμενοι[22]) ἡμῖν.[23]) ἔσται[24]) δὲ ὑμῖν καὶ ὁ δοθεὶς χρησμὸς ἀσφαλής· διελεύσομαι γὰρ ὑμῶν τὴν πόλιν (καὶ καταπεσεῖται). ἔρρωσθε σωφρονοῦντες, εἰ δὲ (μή,) ἔρρωσθε δυστυχοῦντες. ἀναγνόντες[25]) δὲ τὰ γράμματα τοῦ βασιλέως οἱ πρωτόβουλοι αὐτῶν (fol. 211a) ἐπιτρέπουσιν εὐθέως τοὺς ἀποσταλέντας ἀγγέλους παρὰ Ἀλεξάνδρου τοῦ βασιλέως μαστίζεσθαι[26]) λέγοντες αὐτοῖς· ποῖος ὑμῶν ἐστιν Ἀλέξανδρος; τῶν[27]) δὲ λεγόντων μηδένα εἶναι[28]), ἀνεσταύρωσαν αὐτούς. ἐζήτει οὖν ὁ Ἀλέξανδρος ποίας ὁδοῦ εἰσελθεῖν, καὶ καταβαλεῖν τοὺς Τυρίους· ἄλογον γὰρ ἡγεῖτο αὐτῶν τὴν ἧτταν. καὶ ὁρᾷ κατὰ τοὺς ὕπνους ἕνα[29]) τῶν[30]) τοῦ Διονύσου[31]) προπόλων σάτυρον, ἐπιδιδόντα[32]) αὐτῷ τυρὸν ἀπὸ γάλακτος· τοῦ δὲ λαβόντος τοῖς ποσὶν αὐτοῦ κατεπάτησεν αὐτόν. ἀναστὰς δὲ τοῦ ὕπνου Ἀλέξανδρος διηγήσατο τὸ ὄνειρον ὀνειροπόλῳ· ὁ δὲ εἶπεν αὐτῷ· βασιλεύσεις[33]) Τύρου ὅλης, καὶ ὑποχείριός σοι γενήσεται[34]), διὰ τὸ τὸν σάτυρόν[35]) σοι δεδωκέναι τυρόν, σὺ δὲ τοῖς ποσί σου αὐτὸν καταπατῆσαι. καὶ μεθ' ἡμέρας τρεῖς συλλαβὼν τὰ στρατόπεδα αὐτοῦ μετὰ καὶ τριῶν κωμῶν τῶν ἔγγιστα, τῶν καὶ (καὶ τῶν?) συμμαχησαμένων τῷ Ἀλεξάνδρῳ γενναίως, νυκτὸς ἀνοίξαντες τὰς πόρτας τῶν τειχέων εἰσῆλθον καὶ τοὺς παραφύλακας ἀνεῖλον· καὶ ἐξεπόρθησεν Ἀλέξανδρος πᾶσαν τὴν Τύρον, καὶ ἐπ' ἔδαφος[36])

---

4) αὐτὸν 5) ἐπέλθης 6) κρατειᾶς 7) γεννομένης 8) καθύπνους 9) ἀλέξανδρον 10) λέγων 11) δόξησει γένεσθαι 12) ἐν τύρω 13) εὐρόπης 14) λιβύας· 15) τύροις 16) ἀρχὴν 17) ἀντιτάσεσθε 18) εἰσώδῳ 19) ὑμῶν 20) μόνον 21) ἣν 22) ὑποτασόμενοι 23) ὑμῖν· 24) ἐστὶ 25) ἀναγνῶντες 26) ἀναρτίζεσθαι 27) τὸν 28) εἰδέναι 29) ἵνα 30) τὸν 31) διὸς 32) ἐπιδιδοῦντα 33) βασιλεύσης 34) γεννήσεται· 35) σατύριόν 36) ἐπέδαφος

fol. 211b αὐτὴν κατήνεγκεν· καὶ μέχρι τῆς σήμερον λέγεται· τὰ ἐν Τύρῳ κακά. τὰς δὲ τρεῖς κώμας τὰς συμμαχήσασας[37]) αὐτῷ εἰς μέτρον πόλεως μιᾶς ἀνεγράψατο, καὶ Τρίπολιν αὐτὴν ὠνόμασεν.[38])

Cap. 36.

Καταστήσας εἰς Τύρον σατράπην τῆς Φοινίκης, καὶ ἀναζεύξας Ἀλέξανδρος παρὰ τὴν Συρίαν ὥδευσεν καὶ ὑπήντησαν αὐτῷ Δαρείου πρεσβευταὶ γράμματα κομίζοντες αὐτῷ καὶ σκῦτον καὶ σφαῖραν καὶ κιβώτιον χρυσίου. δεξάμενος δὲ Ἀλέξανδρος τὰ γράμματα Δαρείου τοῦ Περσῶν[1]) βασιλέως καὶ ἀναγνοὺς εὗρε περιέχοντα οὕτως· Βασιλεὺς βασιλέων καὶ θεῶν συγγενὴς καὶ συνανατέλλων τῷ ἡλίῳ, ἐγὼ αὐτὸς θεὸς Δαρεῖος, Ἀλεξάνδρῳ τῷ ἐμῷ θεράποντι τάδε προστάττω καὶ κελεύω σοι ἐπαναστρέφειν σε πρὸς τοὺς γονεῖς σου, ἐμοὶ δὲ δουλεύειν καὶ κοιτάζειν εἰς τοὺς κόλπους τῆς μητρός σου Ὀλυμπιάδος· ἔστι γὰρ ἡ σὴ ἡλικία· παιδεύεσθαι θέλεις καὶ τιθηνεῖσθαι· διὸ ἔπεμψά σοι σκῦτον καὶ σφαῖραν καὶ κιβώτιον χρυσίου, ἵνα αἱρῇ σοι τί βούλει πρότερον· τὸ[2]) μὲν σκῦτον μηνύον σοι ὅτι ἔτι παιδεύεσθαι ὀφέλλεις[3]), τὴν δὲ σφαῖραν, ἵνα μετὰ τῶν συνηλικιωτῶν σου παίζῃς καὶ μὴ ἀγέρωχον[4]) ἡλικίαν τοσούτων νέων ἐκπείθῃς ὥσπερ ἀρχιλῃστὴς μετὰ σεαυτοῦ φέρων, τὰς πόλεις ταράσσων· οὐδὲ[5]) γὰρ αὕτη ἡ σύμπασα οἰκουμένη ἀνδρῶν[6]) ὑφ' fol. 212a ἓν συνελθοῦσα δυνήσεται[7]) καθελεῖν τὴν Περσῶν βασιλείαν. τοσαῦτα γάρ μοί ἐστι πλήθη στρατοπέδων[8]) ὅσα οὐδὲ[5]) ψάμμον ἐξαριθμῆσαί τις[9]) δύναται. χρυσὸς δὲ καὶ ἄργυρος πολύς, ὥστε[10]) πᾶσαν τὴν γῆν πληρῶσαι. ἔπεμψά σοι δὲ καὶ κιβώτιον χρυσίου μεστόν, ἵνα εἰ μὴ ἔχεις[11]) τροφὰς δοῦναι τοῖς συλλῃσταῖς σου, δώσεις αὐτοῖς τὴν χρείαν, ὅπως ἕκαστος αὐτῶν δυνηθῇ εἰς τὴν ἰδίαν πατρίδα ἐπανακάμψαι. εἰ μὴ πεισθῇς τοῖς κελευομένοις ὑπ' ἐμοῦ, ἐκπέμψω κατὰ σοῦ διῶξαι, ὥστε συλληφθῆναί σε ὑπὸ τῶν ἐμῶν στρατιωτῶν, καὶ οὐχ ὡς Φιλίππου υἱὸς παιδευθήσῃ[12]), ἀλλ' ὡς ἀποστάτης ἀνασταυρωθήσῃ.

Cap. 37.

Καὶ ταῦτα τοῦ Ἀλεξάνδρου ἀναγινώσκοντος ἐπὶ πάντων τῶν στρατοπέδων[1]), ἐδειλίασαν πάντες. καὶ νοήσας Ἀλέξανδρος τὴν δειλίαν αὐτῶν εἶπε πρὸς αὐτούς· ἄνδρες Μακεδόνες καὶ συστρατιῶται, τί ἐταράχθητε ἐπὶ τοῖς γεγραμμένοις ὑπὸ Δαρείου ὡς ἀληθῆ ἐχόντων τὴν δύναμιν τῶν κομπηγόρων[2]) αὐτοῦ γραμμάτων; καὶ γάρ τινες τῶν κυνῶν ἀδυνατοῦντες τῇ ἀλκῇ[3]) τοῦ σώματος μέγα ὑλακτοῦσιν, ὡς δύναμίν τινα [διὰ τοῦ ὑλαγμοῦ] τὴν ἔκφρασιν fol. 212b (sic) ταύτην τῆς ὑλακῆς ποιούμενοι. τοιούτως καὶ ὁ Δαρεῖος ἐν τοῖς ἔργοις μηδὲν δυνάμενος ἐν τοῖς γεγραμμένοις δοκεῖ τι εἶναι

37) συμαχησάσας 38) ὀμόμασεν· **36.** 1) περσσῶν 2) τὸν 3) ὀφέλεις· die worte καὶ τιθηνεῖσθαι . . . ὀφέλεις finden sich am untern rande von jüngerer schwer lesbarer hand. 4) ἀγέροχον 5) οὔτε 6) ἀνδρὸς 7) δυνήσηται 8) στρατοπαίδων 9) ἐξαριθμῆσαι τίς 10) ἔσται 11) ἔχῃς 12) πεδευθήσῃ· **37.** 1) στρατοπαίδων 2) κομνιγγόρων 3) ολκῇ

ὥσπερ οἱ κύνες τοῖς ὑλαγμοῖς. συνθώμεθα δὲ καὶ ἀληθῆ[4]) εἶναι τὰ γεγραμμένα, ἐφωταγωγήθημεν[5]) δι' αὐτῶν, ἵνα ἴδωμεν πρὸς τίνα ἔχομεν γενναίως πολεμεῖν περὶ νίκης, ἵνα μὴ ἡττηθέντες αἰσχυνθῶμεν. καὶ ταῦτα εἰπὼν ἐκέλευσεν ἐξαγκωνίζεσθαι[6]) τοὺς γραμματοφόρους Δαρείου καὶ ἀπενεχθῆναι εἰς τὸ σταυρωθῆναι. τῶν δὲ λεγόντων[7])· τί ἡμεῖς σοι κακὸν ἐπράξαμεν, βασιλεῦ Ἀλέξανδρε; ἄγγελοί ἐσμεν· τί κελεύεις κακῶς ἡμᾶς ἀναιρεθῆναι; εἶπε δὲ αὐτοῖς Ἀλέξανδρος· μέμψασθε τὸν βασιλέα Δαρεῖον, καὶ μὴ ἐμέ· ἔπεμψε γὰρ ὑμᾶς Δαρεῖος μετὰ γραμμάτων τοιούτων, οὐχ ὡς πρὸς βασιλέα, ἀλλ' ὡς πρὸς ἀρχιληστήν.[8]) ἀναιρῶ τοίνυν ὑμᾶς, ὡς ἐλθόντας πρὸς αὐθάδη[9]) ἄνθρωπον καὶ οὐ βασιλέα. ὁ δὲ εἶπεν (sic)· καὶ ὁ Δαρεῖος μηδὲν ἰδὼν[10]) ἔγραψέν σοι τοιαῦτα· ἀλλ' ἡμεῖς ὁρῶμεν τοιαύτην παράταξιν, καὶ νοοῦμεν μέγιστον καὶ φρενήρη[11]) βασιλέα (σε) εἶναι, υἱὸν βασιλέως Φιλίππου· δεόμεθά σου[12]) δέσποτα βασιλεῦ μέγιστε, ἀποχάρισαι[13]) ἡμῖν τὸ ζῆν. ὁ δὲ Ἀλέξανδρος εἶπε πρὸς αὐτούς· νῦν ἐδειλιάσατε[14]) τὴν κόλασιν ὑμῶν fol. 213ᵃ καὶ ἱκετεύετε τοῦ μὴ ἀποθανεῖν· διὰ τοῦτο ὑμᾶς ἀπολύω. οὐ γὰρ προαιρέσεώς εἰμι ἀναιρῆσαι ὑμᾶς, ἀλλ' ἐνδείξασθαι τὴν διαφορὰν Ἕλληνος βασιλέως καὶ βαρβάρου· ὥστε μηδὲν κακὸν προσδοκᾶτε ὑπ' ἐμοῦ παθεῖν· βασιλεὺς γὰρ ἄγγελον οὐ κτείνει. καὶ οὕτως αὐτοῖς εἰπὼν Ἀλέξανδρος ἐκέλευσεν αὐτοῖς δείπνου γενομένου[15]) συνανακλιθῆναι αὐτῷ· τῶν δὲ γραμματοφόρων βουλομένων λέγειν τῷ Ἀλεξάνδρῳ, τὸ πῶς ἐνέδρᾳ λαβεῖν (λάβῃ?) τὸν Δαρεῖον ποιήσας πρὸς αὐτὸν πόλεμον, εἶπεν αὐτοῖς· μηδέν μοι εἴπητε· εἰ μὴ γὰρ ἀπήρχεσθε πρὸς αὐτόν, ἐμάνθανον[16]) (ἂν) παρ' ὑμῶν· ἐπειδὴ δὲ πορεύεσθε πρὸς αὐτόν, οὐ θέλω, ἵνα μή τις ἐξ ὑμῶν διαβάλῃ Δαρείῳ τὰ εἰρημένα καὶ εὑρεθῶ[17]) παραίτιος ὑμῖν κολάσεως. σιωπήσατε οὖν (ἵνα ἡσυχῇ παρέλθωμεν. (?) ἐτίμησαν οὖν) αὐτὸν οἱ γραμματοφόροι Δαρείου φωναῖς[18]) πολλαῖς, καὶ πᾶν τὸ πλῆθος τῶν στρατευμάτων ἐπευφήμουν αὐτόν.

Cap. 38.

Μετὰ δὲ ἡμέρας τρεῖς γράφει Ἀλέξανδρος Δαρείῳ γράμματα ἅπερ καὶ ὑπανέγνω τοῖς ἰδίοις στρατεύμασιν, λάθρα τῶν γραμματοφόρων Δαρείου, περιέχοντα οὕτως· Βασιλεὺς Ἀλέξανδρος υἱὸς fol. 213ᵇ βασιλέως Φιλίππου καὶ μητρὸς Ὀλυμπιάδος βασιλεῖ βασιλέων καὶ συνθρόνῳ θεῶν καὶ συνανατέλλοντι τῷ ἡλίῳ, μεγάλῳ θεῷ Περσῶν[1]) βασιλεῖ, χαίρειν. αἰσχρόν ἐστι τὸν τηλικαύτῃ δυνάμει ἐπαιρόμενον καὶ συνανατέλλοντα[2]) τῷ ἡλίῳ ὑπὸ ταπεινὴν δουλείαν πεσεῖν ἀνθρώπῳ ποτέ τινι Ἀλεξάνδρῳ· αἱ γὰρ τῶν θεῶν ὀνομασίαι εἰς ἀνθρώπους χωροῦσαι μεγάλην δύναμιν αὐτοῖς παρέχουσιν

4) ἀλεθῆ 5) ἐφ ω ταγω γήθημεν 6) ἐξαγκονίζεσθαι 7) λεγώντων 8) ἀρχιλιστήν· 9) αὐθάδην 10) εἰδὼν· 11) φρενήρει 12) φιλίππου δὲ ο μεθά σου 13) ἀποχάρισε 14) ἐδειλίασετε 15) γεννομένου, 16) ἐμάνθανων 17) εὑρεθῇ 18) φοναῖς **38.** 1) περσσῶν 2) συνανατέλοντα

ἢ φρόνησιν. πῶς γὰρ τῶν ἀθανάτων θεῶν ὀνόματα εἰς φθαρτὰ σώματα κατοικοῦσιν; ἰδοὺ δὴ καὶ ἐν τούτῳ[3]) κατεγνώσθης παρ' ἡμῖν (ὡς μηδὲν δυνάμενος), ἀλλ' ὡς ταῖς[4]) τῶν θεῶν ὀνομασίαις[5]) συγχρώμενος καὶ τὰς ἐκείνων δυνάμεις ἐπὶ τῆς γῆς ἑαυτῷ περιτιθῶν.[6]) ἐγὼ γὰρ ἔρχομαι πρὸς σέ, πολεμήσων ὡς θνητὸν ὑπάρχοντα· ἡ δὲ ῥοπὴ τῆς νίκης ἐκ τῆς ἄνω προνοίας ἐστίν. τί δὲ καὶ ἔγραψας ἡμῖν τοιοῦτον καὶ τοσοῦτον χρυσὸν καὶ ἄργυρον κεκτῆσθαι, ἵνα μαθόντες γενναιοτέρως πολεμήσωμεν[7]), ὅπως ταῦτα ληψώμεθα; καὶ ἐγὼ μὲν γὰρ ἐπάν[8]) σε νικήσω[9]), περίφημος ἔσομαι καὶ μέγας βασιλεὺς παρὰ τοῖς Ἕλλησι καὶ βαρβάροις, ὅτι τὸν τη-
fol. 214a λικοῦτον βασιλέα δυνάστην Δαρεῖον ἀνεῖλον· σὺ δὲ ἐμὲ ἐὰν ἡττήσῃς, οὐδὲν γενναῖον ἔπραξας· λῃστὴν γὰρ ἥττησας καθὼς σὺ ἔγραψας ἡμῖν· ἐγὼ δὲ βασιλέα βασιλέων, μέγαν[10]) θεὸν Δαρεῖον ἥττησα. ἀλλὰ καὶ σκῦτον καὶ σφαῖραν καὶ κιβώτιον χρυσίου ἐξέπεμψάς μοι, ἀγγέλλων[11]) μοι (κακότητα)· ἐγὼ δὲ ταῦτα ἀγαθὰς ἀγγελίας ἐδεξάμην· τὸν μὲν σκῦτον ἔλαβον, ἵνα ταῖς ἐμαῖς λόγχαις καὶ ὅπλοις δέρων τοὺς βαρβάρους ταῖς ἐμαῖς χερσὶν εἰς δουλείαν[12]) καθυποτάξω· τῇ[13]) δὲ σφαίρᾳ[14]) ἐσήμανάς μοι ὡς τοῦ κόσμου ἐπικρατήσω· σφαιροειδὴς γὰρ καὶ στρογγύλος ὁ κόσμος τυγχάνει· τὸ δὲ κιβώτιον τοῦ χρυσίου μέγα σημεῖον ἔπεμψάς μοι· νικηθεὶς (γὰρ) ὑπ' ἐμοῦ φόρους μοι τελέσεις.

Cap. 39.

Ταῦτα οὖν ἀναγνοὺς ὁ Ἀλέξανδρος ὁ βασιλεὺς τοῖς ἑαυτοῦ στρατεύμασιν καὶ βουλλώσας[1]) δέδωκε τοῖς γραμματοφόροις Δαρείου, καὶ τὸ χρυσίον ὅπερ ἤγαγον ἐχαρίσατο αὐτοῖς. οἱ[2]) δὲ ἀποδεξάμενοι τὴν μεγαλοφροσύνην Ἀλεξάνδρου ἀνεχώρησαν καὶ ἦλθον πρὸς Δαρεῖον. ὁ δὲ Δαρεῖος ἀναγνοὺς τὰ γράμματα Ἀλεξάνδρου ἐπέγνω τὴν ἐν αὐτοῖς δύναμιν· καὶ ἐξετάσας ἀκριβῶς[3]) τὰ περὶ τῆς συνέσεως Ἀλεξάνδρου καὶ τῆς πρὸς πόλεμον παρα-
fol. 214b σκευῆς αὐτοῦ, καὶ ὅτι ἐπὶ τούτοις ἐκινήθη[4]), γράφει τοῖς ἑαυτοῦ σατράπαις ἐπιστολὴν περιέχουσαν οὕτως·

Βασιλεὺς Δαρεῖος τοῖς ἐπέκεινα τοῦ Ταύρου στρατηγοῖς χαίρειν. ἐπιστέλλουσί μοι ἐπαναστάντα Ἀλέξανδρον παῖδα Φιλίππου· τοῦτον οὖν συλλαβόντες ἀγάγετέ μοι, μηδὲν κακὸν ἐργασάμενοι τῷ σώματι αὐτοῦ, ὅπως ἐγὼ ἐκδύσας αὐτὸν τὴν πορφυρέαν στολὴν καὶ πληγὰς ἐπιθεὶς[5]) αὐτῷ ἀποστελῶ ἐν Μακεδονίᾳ τῇ πατρίδι αὐτοῦ πρὸς τὴν μητέρα αὐτοῦ Ὀλυμπιάδα, δοὺς[6]) αὐτῷ κροτάλην καὶ ἀστραγάλους[7]), ὡς οἱ Μακεδόνων[8]) (παῖδες) τελοῦσι παίγνιον. καὶ συναποστελῶ αὐτῷ ἄνδρας πάσης σωφροσύνης διδασκάλους. τὰς δὲ ναῦς αὐτοῦ εἰς βυθὸν θαλάσσης καταποντίσατε, στρατηγοὺς δὲ τοὺς συνακολουθήσαντας αὐτῷ σιδηρώσαντες ἀναπέμψατε ἡμῖν·

3) τοῦτο 4) τὰς 5) ὀνομασίας 6) περιτίθων· 7) πολεμήσομεν 8) ἐπᾶν 9) σεννικήσω 10) μέγα 11) ἀγγελῶν 12) δουλίαν 13) τὴν 14) σφαίραν **39.** 1) βουλώσας 2) ὁ 3) ἀκριβὰ 4) ἐνικήθη· 5) ἐπιθήσας 6) δώσας 7) στράγαλους 8) μακεδώνων

τοὺς δὲ λοιποὺς στρατιώτας ἐκπέμψατε εἰς τὴν ἐρυθρὰν θάλασσαν οἰκῆσαι· ἵππους δὲ καὶ σκευηφόρα πάντα ὑμῖν δωροῦμαι. ἔρρωσθε.

Ἔγραψαν δὲ καὶ οἱ σατράπαι Δαρείῳ οὕτως· Θεῷ μεγάλῳ βασιλεῖ Δαρείῳ χαίρειν. τοσούτου ἔθνους ἐπελθόντος ἡμῖν, θαυμάζομεν[9]) πῶς σε λανθάνει μέχρι τοῦ δεῦρο. ἐπέμψαμεν δέ σοι[10]) ἐξ αὐτῶν οὓς εὕραμεν ῥεμβομένους[11]), τούτους μὴ τολμήσαντες ἐξετάσαι πρότερόν σου. ἐν τάχει οὖν παραγενοῦ[12]) μετὰ δυνάμεως πολλῆς, ἵνα μὴ λάφυρα γενώμεθα. fol. 215ᵃ

Ταῦτα οὖν τὰ γράμματα δεξάμενος Δαρεῖος ἐν Βαβυλῶνι τῆς Περσίδος καὶ ἀναγνοὺς ἀντέγραψεν αὐτοῖς τάδε· Βασιλεὺς βασιλέων μέγας θεὸς Δαρεῖος πᾶσι τοῖς σατράπαις καὶ στρατηγοῖς χαίρειν. παρ' ἐμοῦ μηδέποτε ἐλπίδα ἔχοντες τὸ ἐπίσημον τῆς ἀνδρείας ὑμῶν ἐνδείξασθε· † ποταμὸς γοῦν ἐπεδήμησεν εἰς ὑμᾶς· καὶ οὐκ ἐθορύβησεν ὑμᾶς τοῦ κατασβέσαι κεραυνοῦς· καὶ ἀνδρὸς ἀγνώστου τόπον οὐχ ὑπηνέγκατε ἀποδιώξατε· † τέθνηκέν τις ὑμῶν[13]) ἐν παρατάξει; τί βουλεύσωμαι[14]) περὶ ὑμῶν, οἳ τὴν ἐμὴν βασιλείαν κατέχοντες πρόφασιν (?) δίδοτε ἀνδρὶ λῃστῇ, μὴ βουλόμενοι αὐτὸν συλληφθῆναι;[15]) νῦν οὖν ὡς ἔφατε[16]) ἐγὼ παραγενόμενος συλλήψομαι[17]) αὐτόν.

Cap. 40.

Πυνθανόμενος οὖν ὁ Δαρεῖος*), πλησίον ὄντα τὸν Ἀλέξανδρον, κατεστρατοπέδευσε[1]) πρὸς[2]) τῷ Πιναρίῳ[3]) ποταμῷ, καὶ γράψας (ἐπιστολὴν) ἀπέστειλεν Ἀλεξάνδρῳ (περιέχουσαν) οὕτως· Βασιλεὺς βασιλέων μέγας θεὸς Δαρεῖος καὶ (ρκ') ἐθνῶν κύριος Ἀλεξάνδρῳ τὰς πόλεις λεηλατοῦντι.[4]) δοκεῖ σε[5]) λανθάνειν τὸ Δαρείου ὄνομα, ὅπερ καὶ θεοὶ τετιμήκασι καὶ σύνθρονον εἶναι (ἑαυτοῖς ἔκριναν). καὶ οὐ μακάριον ἡγήσω τὸ λανθάνειν, βασιλεύειν τῆς Μακεδονίας[6]) χώρας, χωρὶς τῆς ἐμῆς κελεύσεως· ἀλλὰ διῆλθες χώρας ἀδήλους καὶ πόλεις ἀλλοτρίας, ἐν αἷς ἑαυτὸν ἀνηγόρευσας βασιλέα, συλλέξας ἄνδρας ὁμοίους σου ἀνελπίστους, καὶ πολεμεῖς πόλεις ἀπειροπολέμους[7]), ἃς ἐγὼ ἀεὶ εὐλαβηθεὶς δεσπόζεσθαι περισσὰς ἡγούμην ὡς ἀπερριμμένας[8]), καὶ σὺ ἐπεζήτησας φόρους παρ' αὐτῶν λήψεσθαι ὡς ἐρανιζόμενος. πείθῃ οὖν καὶ ἡμᾶς τοιούτους εἶναι ὁποῖος εἶ, † καὶ τόπους δὲ οὓς οὐκ εἴληφας οὐ καυχήσῃ[9]) ἔχειν. † κάκιστα οὖν πεφρόνηκας[10]) περὶ τούτων· πρῶτον μὲν γὰρ τὴν ἄγνοιάν σου ὤφειλες[11]) διορθώσασθαι, καὶ πρὸς ἐμὲ[12]) τὸν κύριόν σου Δαρεῖον ἐλθεῖν, καὶ μὴ ἐπισωρεύειν λῃστρικὰς δυνάμεις. ἔγραψά σοι ἐλθεῖν καὶ προσκυνεῖν Δαρείῳ βασιλεῖ· σὺ δὲ (ἐὰν) τῆς ἄλλης[13]) ἀνοίας ἀντέχῃ, κολάσομαί [οὖν] fol. 215ᵇ

9) θαυμάζωμεν 10) ἐπέμψαν μέν σοι δὲ 11) ῥεμπομένους 12) παραγένου 13) ἡμῶν 14) βουλεύσω με 15) συληφθῆναι· 16) ἔφητε 17) συλήψομαι **40.** *) von hier an im nom., acc. u. voc. stets δάρειος, δάρειον, δάρειε. 1) κατεστρατοπαίδευσε 2) πρὸ 3) τοπιναρίω 4) λέηλατὴν 5) δοκεῖς 6) μακεδωνίας 7) ἀπείρους 8) ἀπορεριμμένας 9) οὐκ αυχήση 10) πεφρόνικας 11) ὤφειλε 12) ἐμὲν 13) ἄλης

(cε) θανάτῳ ἀνεκλαλήτῳ· χείρονα[14]) δέ cου καὶ οἱ cὺν cοὶ ἀποθανοῦνται[15]) οἱ μὴ περιτιθέντες cοι cωφροcύνην. ὄμνυμι[16]) δέ cοι διὰ (Δία?) θεὸν τὸν μέγιcτον καὶ ἐμὸν πατέρα, μὴ μνηcικακῆcαί cοι ἐφ' οἷς ἔπραξας.

Cap. 41.

Τοῦ δὲ Ἀλεξάνδρου δεξαμένου τὰ γράμματα Δαρείου καὶ ἐν-
fol. 216ª τυχόντος, οὐκ ἐπυροῦτο[1]) ἐπὶ τοῖς κομπηγόροις λόγοις Δαρείου. ὁ δὲ Δαρεῖος[2]) cυναθροίcας δύναμιν πολλὴν κατέβαινε μετὰ τῶν παίδων αὐτοῦ καὶ τῆς γυναικὸς αὐτοῦ καὶ τῆς μητρὸς αὐτοῦ· περὶ δὲ αὐτὸν[3]) ἦcαν οἱ ἀθάνατοι καλούμενοι μύριοι· ἐκαλοῦντο δὲ ἀθάνατοι διὰ τὸ φυλάττεcθαι τὸν ἀριθμὸν αὐτῶν (καὶ εἰcάγεcθαι ἄλλους) ἀντὶ τῶν τελευτώντων. Ἀλέξανδρος δὲ διοδεύcας τὸν Κιλίκιον Ταῦρον ἧκεν εἰς Ταρcὸν τῆς Κιλικίας μητρόπολιν, καὶ θεαcάμενος τὸν ὑπ' αὐτὴν[4]) ῥέοντα[5]) ποταμὸν Κύδνον, ῥεόμενος τῷ κατὰ τὴν ὁδοιπορίαν[6]) ἱδρῶτι, ἀποθεὶς τὸν θώρακα ἐν τῷ ποταμῷ διενίψατο, καὶ ψυγεὶς[7]) εἰς ἔcχατον ἦλθεν κίνδυνον καὶ μόλις θεραπεύεται· ὁ δὲ θεραπεύcας αὐτὸν ἦν Φίλιππος τῶν ἐνδόξων ἰατρῶν. ῥωcθεὶς δὲ προcῆγεν ἐπὶ Δαρεῖον· Δαρεῖος δὲ ἐπὶ τὸν καλούμενον Ἴccον[8]) τῆς Κιλικίας ἐcτρατοπεδεύετο. παροξυνθεὶς δὲ ὁ Ἀλέξανδρος ὥρμηcεν ἐπὶ τὸν πόλεμον εἰς τὸ πεδίον(?)[9]), καὶ παρετάξατο Δαρείῳ. οἱ δὲ περὶ τὸν Δαρεῖον ὁρῶντες τὸν Ἀλέξανδρον ἐπάγοντα αὐτοῖς τὴν δύναμιν τῆς cτρατείας αὐτοῦ, καθ' ὃ μέρος ἤκουε Δαρεῖος[10]) (τὸν Ἀλέξανδρον), ἔcτηcαν τὰ ἅρματα καὶ ὅλην τὴν πολεμικὴν τάξιν. καὶ δὴ cταθέντων ἐπὶ cυμβολῇ[11]) τοῦ πολέμου ἀμφοτέρων τῶν μερῶν, οὐ cυνεχώρηcε
fol. 216ᵇ Ἀλέξανδρος οὔτε ἐντὸς τῆς φάλαγγος διακόψαι αὐτοὺς οὔτε διιππεῦcαι οὔτε ἐπιcτρατεῦcαι αὐτούς, ἀλλὰ τὸ πολὺ μὲν τῶν ἁρμάτων τὸ πάντοθεν ἐξαγκωνιζόμενον διεφθείρετο καὶ διεcκεδάcθη. καὶ ἀναβὰς ἐφ' ἵππον[12]) Ἀλέξανδρος ἐκέλευcε cαλπίcαι τοὺς cαλπιcτὰς τὸ πολεμικὸν μέλος. καὶ κραυγῆς μεγάλης γενομένης τῶν cτρατοπέδων[13]) γίνεται πολλὴ μάχη. ἐπὶ πολὺ (δὲ) ἄκροις τοῖς κέραcι ἐμβάλλοντες[14]) καὶ τοῖς δόραcιν [ὑπ' ἀλλήλων] τύπτοντες καὶ τυπτόμενοι διεβιβάζοντο[15]) ἐνταῦθα (καὶ ἐνταῦθα). ἑκάτεροι οὖν τὸ νῖκος ποιηcάμενοι ἐχωρίζοντο. οἱ δὲ περὶ τὸν Ἀλέξανδρον ἐξώθουν τοὺς περὶ τὸν Δαρεῖον, καὶ κατακράτος[16]) ἔθραυον[17]) αὐτοὺς πληccομένους καὶ περιπίπτοντας ἀλλήλοις διὰ τὸ πλῆθος τῶν cτρατευμάτων. οὐδὲν δὲ ἦν ὁρᾶν ἐκεῖ εἰ μὴ ἵππους χαμαὶ κειμένους καὶ ἄνδρας ἀνῃρημένους· οὐκ ἦν δὲ διακρῖναι οὔτε[18]) Πέρcην[19]) οὔτε[18]) Μακεδόνα[20]), οὔτε cυμμάχους οὔτε cατράπας οὔτε πεζὸν οὔτε ἱππέα ὑπὸ τοῦ πολλοῦ[21]) κονιορτοῦ· οὔτε γὰρ ὁ

---

14) χείρανα 15) παθοῦνται 16) ὄμνυμη **41.** 1) ἐπιροῦτο 2) δάριος 3) αὐτῶν 4) ὑπάτην 5) ῥέωντα 6) ὁδιπορίαν 7) ψυγεῖς 8) νῆcον 9) πεccὸν 10) δάρειον 11) cυμβουλῇ 12) ἔφιππος 13) cτρατοπαίδων 14) βάλλοντες 15) διεβιάζοντο 16) κατακράτους 17) ἔθραβον 18) οὐδὲ 19) πέρcον· 20) μακέδωνα· 21) πολοῦ

ἀὴρ ἐφαίνετο[22]), οὔτε ἡ γῆ ἐθεωρεῖτο ὑπὸ τῶν πολλῶν λύθρων.[23]) καὶ αὐτὸς δὲ ὁ ἥλιος συμπαθήσας τοῖς γινομένοις καὶ μὴ κρίνας θεωρεῖν τοσαῦτα μιάσματα, συννεφὴς[24]) ἐγένετο.[25]) τροπῆς δὲ ἰσχυρᾶς γενομένης τῶν Περσῶν[26]), εἰς φυγὴν ὥρμησαν οἱ Πέρσαι. ἦν δὲ μετ' αὐτῶν Ἀμύντας[27]) ὁ Ἀντιόχου[28]), ὃς ἐπεφεύγει[29]) πρὸς Δαρεῖον τοῖς πρόσθεν χρόνοις, Μακεδόνων[30]) ὢν τύραννος. ἐπειδὰν[31]) δὲ τὸ πρὸς ὀψὲ ἐγένετο[32]), Δαρεῖος ἐργωδῶς φοβηθεὶς ἀεὶ ἔμπροσθεν ἀπῄει.[32]) εὐεπίγνωστον δὲ ἦν τὸ ἡττώμενον (ἡττημένου?) ἅρμα. καταλείψας[33]) οὖν τὸ ἑαυτοῦ (ἅρμα) εἰς ἵππον ἐπέβη καὶ ἔφυγεν.[34]) ὁ δὲ Ἀλέξανδρος φιλοτιμούμενος[35]) Δαρεῖον καταλαβεῖν ἐδίωκε προφθάσαι τοῦ μὴ ὑπό τινος αὐτὸν ἀναιρεθῆναι. τὸ μὲν οὖν ἅρμα καὶ τὰ τόξα καὶ τὴν γυναῖκα καὶ τὰς θυγατέρας καὶ τὴν μητέρα Δαρείου ἐπὶ σταδίων ξ̄ διώξας Ἀλέξανδρος κατέλαβεν, αὐτὸν δὲ τὸν Δαρεῖον ἡ νὺξ διέσωσεν· καὶ πρὸς τούτῳ[36]) ἵππον ἔχων νέον (sic) ἐκ διαδοχῆς ἔφυγεν. Ἀλέξανδρος δὲ καταλαβὼν τὴν Δαρείου σκηνὴν ἐσκήνωσεν ἐν αὐτῇ. κρατήσας δὲ τῶν ἐναντίων καὶ τοῦ τηλικούτου ἀξιώματος καταξιωθεὶς οὐδὲν ἔπραξεν ὑπερήφανον, ἀλλὰ τοὺς ἀνδρωδεστάτους καὶ εὐγενεῖς τῶν Περσῶν[26]) τετελευτηκότας[37]) ἐκέλευσε θάπτεσθαι, τὴν δὲ μητέρα Δαρείου καὶ τὴν γυναῖκα καὶ τὰ τέκνα μεθ' ἑαυτοῦ ἤγαγεν ἐντίμως· ὡσαύτως δὲ καὶ τοὺς λοιποὺς τῶν αἰχμαλώτων παραινέσας ἀνέψυξε. τῶν δὲ πεσόντων Περσῶν[38]) ἦν τὸ πλῆθος πολὺ σφόδρα, τῶν δὲ Μακεδόνων οἱ πεσόντες εὑρέθησαν πεζοὶ πεντακόσιοι, ἱππεῖς δὲ ρ̄ξ̄, τραυματισθέντες δὲ τ̄η̄, τῶν δὲ βαρβάρων μυριάδες[38]) δύο.[39]) καὶ ἐλαφυραγωγήθησαν ὡς χιλιάδες[40]) ἀνδρῶν δ'.

fol. 217a

fol. 217b

Cap. 42.

Ὁ δὲ Δαρεῖος φυγὼν καὶ ἀνασωθεὶς ἐπεστράτευε πλείους[1]) δυνάμεις (συνάγων?), καὶ γράφει τοῖς ὑπ' αὐτὸν[2]) ἔθνεσιν, ὅπως μετὰ μεγάλης δυνάμεως παραγένωνται[3]) πρὸς αὐτόν. μαθὼν δέ τις κατάσκοπος Ἀλεξάνδρου συναθροίζοντα στρατεύματα τὸν Δαρεῖον ἔγραψεν Ἀλεξάνδρῳ περὶ τῶν ἐνεστώτων· καὶ ἀκούσας ταῦτα Ἀλέξανδρος γράφει Σκαμάνδρῳ (sic) τῷ στρατηγῷ αὐτοῦ οὕτως· Ἀλέξανδρος ὁ βασιλεὺς Σκαμάνδρῳ στρατηγῷ ἡμῶν χαίρειν. τὰς ὑπὸ σοὶ[4]) φάλαγγας καὶ πᾶσαν δύναμιν ἔχων[5]) τάχιον[6]) παραγενέσθαι [ταχὺ] πρὸς ἡμᾶς σὺν τοῖς λοιπαῖς[7]) αὐτοῦ δυνάμεσιν· οὐ γὰρ μακρὰν λέγονται εἶναι οἱ βάρβαροι. καὶ αὐτὸς δὲ ὁ Ἀλέξανδρος ἀναλαβὼν ἥνπερ εἶχε δύναμιν τὴν ὁδοιπορίαν ἐποι-

22) ἐφένετο· 23) θρύλλων· 24) συνεφὴς 25) ἐγέννετο· 26) περσσῶν· 27) ἀμυττὰς 28) ἀντιοχεὺς· 29) ἐπεφύκει 30) μακεδώνων 31) ἐπεὶ δ' ἂν 32) ἀπείη· 33) καταλήψας 34) ἐπέφυγεν· 35) φιλοτιμώμενος 36) τοῦτο 37) τελευτηκότας 38) μυριάδας 39) die worte: τῶν δὲ βαρβ..... δύο randglosse von derselben hand 40) χιλιάδαις **42.** 1) πλείων 2) αὐτῶν 3) παραγένονται 4) σοῦ 5) ἔχοντα 6) τάχειον 7) λοιποῖς

εἶτο καὶ ὑπερπεράσας τὸν καλούμενον Ταῦρον καταπήξας δόρυ[8]) μέγιστον εἰς τὴν γῆν εἶπεν· εἴ τις σθεναρὸς τῶν Ἑλλήνων ἢ τῶν βαρβάρων ἢ τῶν ἄλλων βασιλέων βαστάσει τοῦτο τὸ δόρυ, ἑαυτῷ χαλεπὸν σημεῖον ἕξει· ἡ γὰρ πόλις αὐτοῦ ἐκ βάθρων βασταχθήσεται. (fol. 218ª) παραγίνεται οὖν εἰς τὴν Ἱππερίαν[9]) πόλιν τῆς Βεβρυκίας.[10]) ἔνθα ἦν ναὸς καὶ ἄγαλμα τοῦ Ὀρφέως, καὶ (αἱ) [ἀσπίδες] Πιερίδες[11]) Μοῦσαι καὶ τὰ θηρία αὐτῶν παρεστῶτα τῷ ξοάνῳ. βλέποντος δὲ τοῦ Ἀλεξάνδρου (εἰς τὸ ἄγαλμα τοῦ Ὀρφέως, ἵδρωσε τὸ ξόανον αὐτοῦ ὅλον. τοῦ δὲ Ἀλεξάνδρου) ζητοῦντος τί τὸ σημεῖον τοῦτο, λέγει αὐτῷ Μελάμπους[12]) ὁ σημειολύτης· καμεῖν ἔχεις Ἀλέξανδρε βασιλεῦ, μετὰ ἱδρώτων[13]) καὶ κόπων[14]) τὰ τῶν βαρβάρων ἔθνη καὶ Ἑλλήνων πόλεις καθυποτάσσων. ὥσπερ καὶ Ὀρφεὺς λυρίζων καὶ ᾄδων Ἕλληνας ἔπεισε, βαρβάρους ἔτρεψε, τοὺς θῆρας ἡμέρωσεν, οὕτως καὶ σὺ κοπιάσας δόρατι πάντας ὑποχειρίους σοι[15]) ποιήσεις. ταῦτα ἀκούσας Ἀλέξανδρος τιμήσας μεγάλως τὸν σημειολύτην ἀπέλυσεν. καὶ παραγίνεται εἰς Φρυγίαν· καὶ ἐλθὼν εἰς τὸν[16]) Σκάμανδρον ποταμόν, ὅπου ἥλατο[17]) Ἀχιλλεύς[18]), ἐνήλατο[19]) καὶ αὐτός. θεασάμενος δὲ τὸ ἑπταβόειον[20]) ὁ Ἀλέξανδρος οὐ πάνυ μέγα οὐδὲ οὕτως θαυμαστόν, καθὼς συνέγραψεν Ὅμηρος, [καὶ] εἶπεν· μακάριοι ὑμεῖς οἱ ἐντετυχηκότες[21]) τοιούτου κήρυκος[22]), Ὁμήρου, οἵτινες ἐν μὲν[23]) τοῖς ἐκείνου ποιήμασιν μεγάλοι γεγόνατε, ἐν δὲ τοῖς δρωμένοις[24]) οὐκ ἄξιοι τῶν ὑπ' ἐκείνου (fol. 218ᵇ) γεγραμμένων. καὶ προσελθὼν ποιητής τις εἶπεν· Ἀλέξανδρε βασιλεῦ, κρεῖττον ἡμεῖς γράψομεν τὰς πράξεις (σου) τοῦ Ὁμήρου. (ὁ δὲ Ἀλέξανδρος εἶπε· βούλομαι παρ' Ὁμήρῳ Θερσίτης εἶναι ἢ παρὰ σοὶ Ἀγαμέμνων.)

Cap. 43.

Ἐλθὼν δὲ ἐκεῖθεν εἰς τὴν Πύλην καὶ συνάξας τὴν Μακεδόνων στρατείαν σὺν οἷς[1]) ᾐχμαλώτευσεν[2]) ἐν τῷ πολέμῳ Δαρείου, τὴν ὁδοιπορίαν[3]) ἐποιεῖτο εἰς Ἄβδηρα.[4]) οἱ δὲ Ἀβδηρῖται[5]) ἀπέκλεισαν[6]) τὰς πύλας τῆς πόλεως αὐτῶν. ὁ δὲ Ἀλέξανδρος ἐπὶ τούτῳ[7]) ὀργισθεὶς ἐκέλευσε τῷ στρατηγῷ αὐτοῦ ἐμπρῆσαι τὴν πόλιν. οἱ δὲ πέμπουσιν αὐτῷ πρέσβεις λέγοντας[8])· ἡμεῖς ἀπεκλείσαμεν τὰς πύλας οὐχ ὡς ἀντιτασσόμενοι τῷ κράτει τῷ σῷ, ἀλλὰ δεδοικότες τὴν τῶν Περσῶν[9]) βασιλείαν, μήπως Δαρεῖος ἐπιμείνας τῇ τυραννίδι πορθήσῃ ἡμῶν τὴν πόλιν ὡς παραδεξαμένων[10]) σε. ὥστε σὺ παρελθὼν[11]) ἄνοιξον τῆς πόλεως τὰς πύλας· τῷ γὰρ ἰσχυροτέρῳ βασιλεῖ ὑποτασσόμεθα.[12]) ταῦτα ἀκούσας ὁ Ἀλέξανδρος ἐμειδία-

---

8) δόρι 9) so von zweiter hand; was die erste geschrieben, ist nicht mehr zu erkennen 10) βεβρυκυίας 11) περιδες 12) μελαμποθς 13) ὑδρώ των 14) κοπον 15) σου 16) στὸν 17) εἶλατο 18) ἀχιλεὺς· 19) ἐνείλατο 20) ἑπτάβαιον 21) ἐντυχηκότες 22) κύρικος 23) εἴ τινες ἐσμὲν 24) δρωμένης· **43.** 1) αὐτῶ 2) αἰχμαλώτευσεν 3) οδοιπορείαν 4) ἀβδηρὰν· 5) ἀβδηρεῖται 6) ἀπέκλησας 7) τοῦτο 8) λέγοντες· 9) περσσῶν 10) παραδεξαμένον 11) συμπαρελθὼν· 12) ὑποτασόμεθα·

cεν καὶ εἶπεν πρὸς τοὺς ἀποσταλέντας[13]) παρ' αὐτῶν πρέσβεις· δεδοίκατε τὴν Δαρείου βασιλείαν, μήπως ὕστερον ὑμᾶς ἐκπορθήσῃ, ἐπιμένων τῇ βασιλείᾳ· πορεύεσθε[14]) καὶ ἀνοίξατε καὶ κοσμίως πολιτεύεσθε.[15]) οὐ γὰρ εἰσελεύσομαι εἰς τὴν πόλιν ὑμῶν, ἕως ἡττήσω[16]) Δαρεῖον ὃν δεδοίκατε βασιλέα, καὶ τότε ὑμᾶς ὑποχειρίους λήψομαι. καὶ ταῦτα εἰπὼν τοῖς πρέσβεσι[17]) τὴν ὁδοιπορίαν[18]) fol. 219ª ἑαυτοῦ ἐποιεῖτο.

Cap. 44.

Καὶ παρεγένετο ἐν δυσὶν ἡμέραις εἰς τὴν Βοττίαν[1]) καὶ τὴν Ὄλυνθον, καὶ ἐξεπόρθησεν ὅλην τὴν χώραν τῶν Χαλκιδέων[2]) καὶ τοὺς σύνεγγυς (αὐτῶν) ἀνεῖλεν. κἀκεῖθεν ἦλθε παρὰ τὸν Εὔξεινον[3]) πόντον[4]), καὶ πάσας τὰς πόλεις τὰς ἔγγιστα ἔσχεν ὑπηκόους. ἔλειψε δὲ τοῖς Μακεδόσι[5]) τὰ ἐπιτήδεια τῶν τροφῶν, ὥστε λιμῷ[6]) πάντας τελευτᾶν.[7]) ὁ δὲ Ἀλέξανδρος ἔργον ἐπινοίας μέγιστον ταῖς φρεσὶν[8]) ἐποιήσατο· ἐρευνήσας δὲ πάντας τοὺς ἵππους τῶν ἱππέων ἀπέσφαξε, καὶ τὰ σώματα αὐτῶν ἐκδείρας[9]) ἐκέλευσεν ὀπτᾶν καὶ ἐσθίειν, καὶ ἐκορέσθησαν καὶ τοῦ λιμοῦ ἀνέψυξαν.[10]) καὶ τῶν μὲν λεγόντων· τί ἔδοξεν Ἀλεξάνδρῳ τοὺς ἵππους ἡμῶν ἀναιρῆσαι; ἰδοὺ πρὸς μὲν[11]) τὸ παρὸν[12]) ἐκορέσθημεν τροφῆς, ἄνοπλοι δέ ἐσμεν πρὸς μάχην τῶν ἱππέων· ἀκούσας δὲ ταῦτα Ἀλέξανδρος εἰσῆλθεν εἰς τὸ στρατόπεδον καὶ εἶπεν· ἄνδρες συστρατιῶται, τοὺς μὲν ἵππους ἀπεσφάξαμεν καίτοι[13]) ἀναγκαιοτάτους ὄντας πρὸς πόλεμον, ὅπως ἡμεῖς τροφῆς κορεσθῶμεν. τὸ γὰρ κακὸν μετριωτέρῳ κακῷ ἀντισηκούμενον[14]) μετρίαν ἔχει τὴν λύπην· ἑτέραν δὲ γῆν ἐπιβάντων ἡμῶν ἑτέρους ἵππους ῥᾳδίως εὑρήσομεν[15])· ἡμῶν δὲ ἀπολλυμένων ἐκ τοῦ λιμοῦ ἑτέρους Μακε- fol. 219ᵇ δόνας τὸ παρὸν οὐχ εὑρήσομεν.[15]) οὕτως πραΰνας τὰ στρατόπεδα τὴν ὁδοιπορίαν ἐποιεῖτο εἰς ἑτέραν πόλιν.

Cap. 46.*

Καὶ ἐκεῖθεν τὴν ὁδοιπορίαν ἐποιεῖτο πρὸς τοὺς Θηβαίους. καὶ ζητήσας παρ' αὐτῶν ἄνδρας στρατεῦσαι, ἀπέκλεισαν[1]) τὰς πύλας τῶν τειχέων, καὶ οὐδὲ πρέσβεις ἔπεμψαν πρὸς αὐτόν, ἀλλὰ καὶ παραταξάμενοι καθωπλίζοντο[2]) πολεμεῖν Ἀλεξάνδρῳ. καὶ πέμπουσιν πρὸς αὐτὸν φ' ἄνδρας κηρῦξαι αὐτῷ· ἢ πολέμει ἢ ἄπεχε τῆς πόλεως ἡμῶν. Ἀλέξανδρος δὲ μειδιάσας εἶπε πρὸς αὐτούς· ὦ γενναῖοι Θηβαῖοι, τί ἀποκλείσαντες ἑαυτοὺς ἐν ταῖς τῶν τειχέων πύλαις παρακελεύεσθε πολεμεῖν βασιλεῖ Ἀλεξάνδρῳ; ἐγὼ οὖν μαχήσομαι, οὐχ ὡς πρὸς γενναίους τινὰς καὶ ἐμπείρους

---

13) ἀπεσταλέντας 14) πορεύεσθαι 15) πολιτεύεσθαι· 16) ἡττήσω 17) πρέσβεῖσι 18) ὁδιπορίαν **44.** 1) βωτίαν 2) χαλδαίων· 3) εὔξηνον 4) ποταμὸν· 5) μακεδῶσι 6) λοιμῷ 7) τελευτῶν· 8) φραισὶν 9) ἐκδήρας· 10) ἀνένιψαν· 11) ἰδοὺ μὲν πρὸς 12) παρῶν· 13) καίτι 14) ἀντεισηκούμενον· 15) εὑρήσωμεν· *) cap. 45 fehlt in der handschrift. **46.** 1) ἀπέκλησαν 2) καθὀπλήζοντο

πολέμου[3]), ἀλλὰ πρὸς ἰδιωτικὰς καὶ δειλίας[4]) πεπληρωμένας[5]) γυναῖκας. ἑαυτοὺς (γὰρ) ὡς γυναικάρια ἀποκλείςαντες ἐντὸς τῶν τειχέων τοῖς ἔξω προςφωνεῖτε. καὶ ταῦτα εἰπὼν ἐκέλευςε χιλίους[6]) ἱππεῖς διατρέχειν ἔξω τῶν τειχέων καὶ τοξεύειν τοὺς ἐφεςτῶτας εἰς τὰ τείχη[7]), καὶ ἑτέρους χιλίους ἀξίναις διςτόμοις[8]) καὶ μακροτόμοις (μακροτάτοις?) μοχλοῖς ὀρύςςειν τὰ θεμέλια τοῦ τείχους, fol. 220ᵃ πῦρ δὲ ταῖς πύλαις προςάπτειν καὶ τοὺς καλουμένους κριοὺς μετὰ βίας ἐρείδεςθαι[9]) πρὸς τῶν τειχέων διάλυςιν.[10]) ἔςτι δὲ ταῦτα ὄργανα διὰ τροχῶν ὑπὸ ςτρατιωτῶν βίᾳ ςυνωθούμενα[11]), (ἃ) μακρόθεν ἐξαφίεται πρὸς τὰ τείχη καὶ τοὺς πάνυ ἁρμολογηθέντας τοίχους[12]) διαλύουςιν. Ἀλέξανδρος δὲ μετὰ ἑτέρων χιλίων ςφενδονιςτῶν καὶ λογχοβόλων διέτρεχε, περιήρχετο δὲ πάντη πῦρ[13]), καὶ λίθοι καὶ βέλη καὶ δόρατα ἠκοντίζοντο. ἀπὸ δὲ τῶν τειχέων οἱ Θηβαῖοι κατέπιπτον τιτρωςκόμενοι, μὴ δυνάμενοι ἀντιπαρατάξαςθαι τῷ Ἀλεξάνδρῳ. διὰ δὲ τριῶν ἡμερῶν πᾶςα ἡ Θηβαίων πόλις ἐπολιορκεῖτο. πρώτη οὖν διαρρήςςεται[14]) ἡ καλουμένη Καδμεία[15]) πύλη, ἔνθα ἦν Ἀλέξανδρος ἐφεςτώς, καὶ εὐθέως εἰςῆλθεν Ἀλέξανδρος πρῶτος τοὺς μὲν τιτρώςκων, τοὺς δὲ ἐκφοβῶν[16]) καὶ ςυνταράςςων. ἐπειςέρχονται γοῦν καὶ διὰ τῶν ἄλλων πυλῶν πλήθη ςτρατιωτῶν. ἦν δὲ πᾶν τὸ πλῆθος ὡςεὶ τετρακιςχίλιοι ἄνδρες· καὶ πάντας ἀναιροῦςι, τὰ δὲ τείχη διέλυον· ὀξυτάτως γὰρ τὸ Μακεδονικὸν ςτράτευμα τὰ ὑπὸ Ἀλεξάνδρου κελευόμενα πάντα ἐξετέλουν. πολλῶν οὖν λύθρῳ[17]) ἀνθρώπων κατεβρέχετο ἡ γῆ· πολλοὶ δὲ Θηβαῖοι ςυνέπιπτον εἰς τὸ ἔδαφος μετὰ τῶν πύρfol. 220ᵇ γων. λάβρως[18]) δὲ κατακαιομένης[19]) πυρὶ τῆς τῶν Θηβαίων πόλεως χειρὶ Μακεδονικῇ ἀπώλοντο.[20]) καὶ τότε τις τῶν Θηβαίων αὐλῶν μελῶν[21]) ἔμπειρος[22]) ἄνθρωπος καὶ ςοφὸς τῇ γνώμῃ τυγχάνων[23]), ἰδὼν τὰς Θήβας καταρριπτομένας[24]) καὶ πᾶςαν ἡλικίαν ἀναιρουμένην, ςτενάξας ὑπὲρ[25]) τῆς πατρίδος αὐτοῦ καὶ δόξας διὰ τῆς τῶν αὐλῶν ἐμπειρίας ἀριςτεύειν, ἤρξατο προςπίπτειν καὶ ἱκετεύειν τὸν Ἀλέξανδρον καὶ ἔρχεται παρὰ τοὺς πόδας αὐτοῦ γονυκλινὴς[26]) γενόμενος καὶ οἰκτρόν τι (καὶ) καταδεὲς καὶ ἐλεημονικὸν[27]) μέλος ἀναμελψάμενος, ὅπως[28]) διὰ τῆς τῶν αὐλῶν δεήςεως καὶ θρήνου μελῳδῶν δυνηθείη[29]) ἐξιλεώςαςθαι τὸν Ἀλέξανδρον μετὰ πολλῶν δακρύων. καὶ ἄρχεται λέγειν τοιάδε· Ἀλέξανδρε βαςιλεῦ μέγιςτε, νῦν πείρᾳ μαθόντες τὸ ςὸν ἰςόθεον κράτος ςεβόμεθα . . . .*)

---

3) πολέμους· 4) διλείας 5) πεπληρομένας 6) χιλλίους 7) τάχει· 8) διςτόμους· 9) ἐρεῖςθαι 10) διάλλυςιν· 11) ςυνεχόμενοι 12) τείχους 13) περιήρχετο δὲ παντὶ· πῦρ καὶ etc. 14) διαρρύςεται 15) παλμία 16) ἐκφωβῶν· 17) λύθρων 18) λάμψεως 19) κατακεομένης 20) ἀπωλλοντο· 21) αὐλων μενῶν 22) ἔμπυρος 23) τυχάνων· 24) καταριπτομένας 25) ὑπὸ 26) γονυκλινὸς 27) ἐλεημονιτικὸν 28) ἀναμελψάμενος οὕτως 29) ἠδυνήθην *) der übrige teil dieses buchs und die ersten 6 capitel des zweiten buchs (nach der Müllerschen ausgabe) fehlen in der handschrift, welche ohne absatz fortfährt: καὶ εὐθέως cet.

ΒΙΒΛΙΟΝ Β΄.

CAP. 6.

. . . Καὶ εὐθέως παραλαβὼν ὁ Ἀλέξανδρος τὰ στρατόπεδα αὐτοῦ ὥρμησεν[1]) ἐπὶ τὰ μέρη τῶν βαρβάρων διὰ τῆς Κιλικίας.[2])

CAP. 7.

Δαρεῖος δὲ συνήθροιζε τοὺς ἡγεμόνας[1]) Περσῶν[2]), καὶ συνεβουλεύοντο τί δέον αὐτοὺς πρᾶξαι. ἔλεγε δὲ Δαρεῖος· ὡς ὁρῶ κατὰ προσθήκην ὁ πόλεμος εἰς δύναμιν ἐπιβαίνει. κἀγὼ μὲν Ἀλέξανδρον λῃστρικὸν[3]) φρονεῖν ὑπενόουν, αὐτὸς δὲ βασιλικὰ ἔργα ἐπιχειρεῖ.[4]) καὶ καθὼς οὖν ἡμεῖς μεγάλοι δοκοῦμεν εἶναι Πέρσαι, μείζων δὲ Ἀλέξανδρος τῇ πολλῇ[5]) (?) φρενὶ τυγχάνει. ἡμεῖς[6]) δὲ fol. 221ᵃ ἐπέμψαμεν[7]) αὐτῷ σκῦτον καὶ σφαῖραν ἐπὶ τὸ παίζειν[8]) καὶ παιδεύεσθαι. ὥστε σκεψώμεθα[9]) τὰ συμφέροντα εἰς ἐπανόρθωσιν τῶν πραγμάτων, μὴ ἐξουθενοῦντες[10]) ὡς μηδὲν ὄντα τὸν Ἀλέξανδρον καὶ ἐπαιρόμενοι τῇ τηλικαύτῃ τῶν Περσῶν[2]) βασιλείᾳ [καὶ] καθ᾽ ὅλης τῆς γῆς καταληφθῶμεν. καὶ δέδοικα μὴ (ὁ μείζων) τοῦ ἐλάττονος ταπεινότερος[11]) εὑρεθῇ, [παρὰ] τοῦ καιροῦ[12]) καὶ [ἡ] προνοίας μεταβολὴν[13]) τοῦ διαδήματος παραχωρούσης. καὶ νῦν συμφέρον ἡμῖν ἐστιν ἵνα τῶν ἰδίων βαρβάρων ἄρχωμεν καὶ μὴ ζητοῦντες τὴν Ἑλλάδα λυτρώσασθαι ἀπολέσωμεν καὶ τὴν Περσίδα. Ὀξυδέλκυς (δὲ) ὁ ἀδελφὸς Δαρείου λέγει πρὸς αὐτόν· ἤδη[14]) μέγα (sic) ποιεῖς τὸν Ἀλέξανδρον καὶ θάρσος[15]) αὐτῷ παρέχεις ἐπιβῆναι τῇ Περσίδι, παραχωρήσας αὐτῷ τὴν Ἑλλάδα. μίμησαι οὖν καὶ αὐτὸς τὸν Ἀλέξανδρον, καὶ οὕτως κατακρατήσεις[16]) τῆς βασιλείας· ἐκεῖνος γὰρ οὔτε στρατηγοῖς οὔτε σατράπαις [ἐπίστασθαι·] ἐπίστευσεν τὸν πόλεμον ὥσπερ σύ, ἀλλὰ πρῶτος ὁρμῶν εἰς τοὺς πολέμους, καὶ προμαχῶν[17]) τῶν στρατοπέδων[18]) αὐτοῦ καὶ μαχόμενος ἀπετίθετο τὴν βασιλείαν, νικήσας δὲ ἀναλαμβάνει τὸ βασίλειον (?). ὁ δὲ Δαρεῖος fol. 221ᵇ αὐτῷ εἶπεν· τί οὖν αὐτὸν[19]) μιμήσομαι; καὶ εἶπεν αὐτῷ ἕτερος στρατηγός· τούτῳ[20]) αὐτῷ[21]) πάντων[22]) [γὰρ] περιεγένετο[23])

---

6. 1) ὅρμησεν 2) κιλυκίας· **7.** 1) ἡγεμώνας 2) περσσῶν 3) λιστρικὸν 4) ἐπιχειροῖ· 5) πολῇ 6) Ὑμᾶς 7) πέμψαι 8) πέζειν 9) σκεψόμεθα 10) ἐξουθενόντες 11) ταπεινότερον 12) κεροῦ· 13) μεταβολῇ 14) ἤδει 15) θάρσως 16) κατακρατήσῃς 17) πρόσμαχῶν 18) στρατοπαίδων 19) αὐτῶ 20) τοῦτο 21) αὐτὸ· 22) πάντα 23) περὶ γενάμενος

Ἀλέξανδρος καὶ μηδὲν [24]) ὑπερτιθέμενος, ἀλλὰ πάντα γενναίως ποιῶν. κατὰ (δὲ) τὴν γενναίαν αὐτοῦ τόλμαν καὶ ἡ μορφὴ αὐτοῦ ἅπαντα (sic) ὡς λέοντος τυγχάνει. ὁ δὲ Δαρεῖος εἶπεν αὐτῷ· πόθεν cὺ οἶδας [25]) ταῦτα; ὁ δὲ εἶπεν· ὅταν ἐπέμφθην [26]) ὑπὸ cοῦ, βασιλεῦ, πρὸς Φίλιππον, ἔβλεπον τοὺς φόβους Ἀλεξάνδρου ἐν Μακεδονίᾳ καὶ τὴν μορφὴν αὐτοῦ καὶ τὴν φρόνηςιν καὶ τὸν χαρακτῆρα. ὥςτε [27]) οὖν καὶ cύ, βασιλεῦ, † εἰ εἶχες τοιούτους cατράπας· † (μετάπεμψαι οὓς ἔχεις cατράπας?) καὶ ὅσα ἔθνη cοι ἔςτι Περςῶν [28]) καὶ Πάρθων καὶ Μήδων καὶ Ἐλυμαίων [28]) καὶ Βαβυλωνίων (καὶ) τῶν [29]) κατὰ τὴν Μεςοποταμίαν καὶ † ὠδυνῶν † χώραν, ἵνα μή cοι [30]) τὰ Βακτρῶν [31]) καὶ † ταειρῶν· τὸ ὄνομά cοι ἐςτὶν † (εἴπω)· ἔςτι cοι γὰρ ἔθνη πολλά· καὶ στράτευσον ἐξ αὐτῶν, καὶ [32]) δυνατόν ἐςτίν cοι, (εἰ) τοὺς θεοὺς ἔχεις εἰς συμμαχίαν [33]), καὶ ἡττῆσαι τοὺς Ἕλληνας, μέντοι γε τῷ [34]) πλήθει τῶν ὅπλων θαμβήσομεν τοὺς πολεμίους ἡμῶν. ἀκούσας δὲ ταῦτα ὁ Δαρεῖος εἶπεν· καλῶς συνεβούλευσας· μία γὰρ ἐνθύμησις [35]) Ἑλλήνων κατανικᾷ τοὺς ὄχλους τῶν βαρβάρων, ὥσπερ καὶ εἷς λύκος βαρὺς ἀγέλην [36]) ποιμνίων ἀποδιώκει. καὶ οὕτως εἰπὼν Δαρεῖος κελεύει συναθροίζεσθαι τὰ πλήθη. fol. 222a

Cap. 8.

Ὁ δὲ Ἀλέξανδρος ὁδεύσας διὰ Κιλικίας [1]) ἦλθεν ἐπὶ τὸν ποταμὸν τὸν λεγόμενον Κύδνον [2])· καθαρὸν [3]) δὲ τὸ ὕδωρ ἦν, καὶ ἰδὼν Ἀλέξανδρος ἐπεθύμησε λούσασθαι ἐν τῷ ποταμῷ. καὶ ἀποδυσάμενος ἐνήλατο [4]) ἐν αὐτῷ, ψυχροῦ ὄντος σφόδρα [5]) τοῦ ὕδατος· καὶ οὐκ ἐγένετο αὐτῷ σωτηρία· ψυγεὶς [6]) γὰρ ἤλγησε [7]) τὴν κεφαλὴν καὶ πάντα τὰ ἐντὸς αὐτοῦ, καὶ χαλεπῶς [8]) ἔκειτο. οἱ δὲ Μακεδόνες κατακειμένου τοῦ Ἀλεξάνδρου καὶ ὀδυνοπαθοῦντος [9]) αὐτοῦ, αὐτοὶ ἐνόσουν τὰς ψυχάς, μήπως ἐπιγνοὺς Δαρεῖος τὴν νόσον Ἀλεξάνδρου ἐπέλθῃ αὐτοῖς· οὕτως μία ψυχὴ Ἀλεξάνδρου τὰς τοσαύτας ψυχὰς τῶν στρατοπέδων [10]) ἔθραυσε. καὶ ἤδη [11]) τις Φίλιππος ὀνόματι ἰατρὸς τυγχάνων ἐνετέλλετο [12]) τῷ Ἀλεξάνδρῳ δοῦναι καταπότιον καὶ ἀπαλλάξαι [13]) αὐτὸν τῆς νόσου. ὁ δὲ Ἀλέξανδρος πρόθυμος [14]) ἐγένετο τοῦ δέξασθαι· ὁ δὲ Φίλιππος ηὐτρέπιζε τὸ φάρμακον. ἐπιστολὴ [15]) δὲ ἐδόθη τῷ Ἀλεξάνδρῳ, ἐκπεμφθεῖσα ἀπὸ Παρμενίου [16]) τινὸς στρατηγοῦ τυγχάνοντος Ἀλεξάνδρου τοῦ βασιλέως, ὅτι [17]) Δαρεῖος εἶπε πρὸς τὸν Φίλιππον τὸν ἰατρόν, ἵνα σχὼν εὐκαιρίας φαρμάκῳ ἀνέλῃ σε [18]), ἐπαγγειλάμενος [19]) δοῦναι αὐτῷ τὴν ἰδίαν ἀδελφὴν πρὸς γάμον καὶ κοινωνὸν ποιῆσαι αὐτὸν τῆς βασιλείας αὐτοῦ· καὶ ὑπέσχετο Φίλιππος τοῦτο fol. 222b

---

24) μηδένα 25) εἶδας 26) ἐπέμφην 27) ὥσπερ 28) ἐλυμηνῶν· 29) ὄντων 30) μέσον 31) βακτῶν 32) εἰ 33) συμαχίαν 34) τὸ 35) ἐνθύμησης 36) ἀγέλλην 8. 1) κιλυκίας 2) ὠκέανον· (so auch in der armen. übersetzung) 3) κατάρρουν 4) ἐνείλατο 5) σφοδροτάτου 6) ψυγεῖς 7) ἤλγεισε 8) χαλεπὸς 9) ὠδυνοπαθοῦντος 10) στρατοπαίδων 11) ἤδει 12) ἐνετέλετο 13) ἀπαλάξαι 14) ὑπεύθυνος 15) ἐπιστολὴν 16) ἀρμενίου 17) ὁ δὲ 18) ἀνελεῖσε· 19) ἐπαγγελάμενος

ποιεῖν· φύλαςςε οὖν ςεαυτόν, βαςιλεῦ, ἀπὸ Φιλίππου. ὁ δὲ Ἀλέξανδρος λαβὼν τὴν ἐπιςτολὴν καὶ ἀναγνοὺς οὐκ ἐταράχθη· ᾔδει[20]) γὰρ τὴν γνώμην τοῦ Φιλίππου οἵα ἐςτὶν πρὸς αὐτόν. ἔθετο οὖν τὴν ἐπιςτολὴν πρὸς τὴν κεφαλὴν αὐτοῦ. προςελθὼν δὲ Φίλιππος ὁ ἰατρὸς ἐπέδωκεν τῷ Ἀλεξάνδρῳ βαςιλεῖ πιεῖν τὴν κύλικα[21]) τοῦ φαρμάκου εἰπών· πίε, δέςποτα βαςιλεῦ, καὶ ἀπαλλάςςῃ[22]) τῆς νόςου. λαβὼν δὲ Ἀλέξανδρος εἶπεν· ἰδοὺ πίνω, καὶ εὐθέως ἔπιεν. καὶ μετὰ τὸ πιεῖν τότε ἐπέδωκεν αὐτῷ τὴν ἐπιςτολήν. ὁ δὲ Φίλιππος ἀναγνοὺς τὴν ἐπιςτολήν, καθ' ἑαυτὸν τὰ γεγραμμένα[23]), εἶπεν· Ἀλέξανδρε βαςιλεῦ, οὐχ ὅμοιόν[24]) με εὑρήςεις[25]) τοῖς γεγραμμένοις. ἀναςωθεὶς δὲ Ἀλέξανδρος τῆς νόςου περιεπλάκη[26]) τῷ Φιλίππῳ καὶ εἶπεν αὐτός (αὐτῷ?)· ἔμαθες ποίαν γνώμην ἔχω πρὸς ςέ, Φίλιππε· πρότερον[27]) γὰρ τὴν ἐπιςτολὴν εἴληφα τοῦ φαρμάκου, καὶ τότε ἔπιον τὸ φάρμακον πιςτεύςας ἐμαυτὸν τῷ ὀνόματί ςου· ᾔδειν[28]) γὰρ ὅτι Φίλιππος κατὰ Ἀλεξάνδρου οὐδὲν χαλεπὸν ἐβουλεύςατο. fol. 223a ὁ δὲ Φίλιππος εἶπεν· δέςποτα βαςιλεῦ, νῦν κόλαζε τὸν πέμψαντά ςοι[29]) τὴν ἐπιςτολὴν Παρμένιον[30]) ἀξίως· αὐτὸς γὰρ πολλάκις με πεῖςαι[31]) ἐζήτηςε[32]) φαρμάκῳ ςε ἀναιρῆςαι[33]), ἐφ' οἷς λάβοιμι τὴν ἀδελφὴν Δαρείου τὴν Δαδιφάρταν πρὸς γάμον· καὶ ἀρνηςαμένου μου ἴδε οἵῳ[34]) χαλεπῷ με παρέθετο παρὰ ςοὶ θανάτῳ. καὶ ταῦτα ἐξετάςας ὁ Ἀλέξανδρος καὶ εὑρὼν ἀναίτιον τὸν Φίλιππον τὸν Παρμένιον διαδέχεται (καὶ κολάζει).

Cap. 9.

Ἐκεῖθεν οὖν παραλαβὼν τὰ ςτρατόπεδα αὐτοῦ ὁ Ἀλέξανδρος παραγίνεται εἰς τὴν τῶν Μήδων χώραν. ἠπείγετο[1]) δὲ καταλαβεῖν τὴν μεγάλην Ἀρμενίαν· καὶ ταύτην δουλωςάμενος ὥδευςεν ἱκανὰς ἡμέρας εἰς ἀνύδρους τόπους καὶ φαραγγώδεις, καὶ διὰ τῆς Ἀριανῆς παραγίνεται εἰς τὸν Εὐφράτην[2]) ποταμὸν καὶ τοῦτον γεφυρώςας ψαλίςι καὶ ςιδηραῖς κνήμαις[3]) ἐκέλευςε τὰ ςτρατόπεδα περᾶςαι. ὡς δὲ εἶδεν αὐτοὺς δειλιῶντας[4]) κελεύει τὰ κτήνη[5]) καὶ τὰ κενα (?) καὶ τὰς τροφὰς πάντων πρῶτον διαπερᾶςαι, καὶ τότε τὰ ςτρατόπεδα.[6]) οἱ δὲ δειλῶς[7]) εἶχον δρῶντες[8]) τὴν ἐπίρροιαν[9]) τοῦ ποταμοῦ, μήπως λυθῶςιν[10]) αἱ ψαλίδες.[11]) μὴ τολμώντων δὲ αὐτῶν διαπερᾶςαι[12]), λαβὼν μεθ' ἑαυτοῦ[13]) Ἀλέξανδρος τοὺς ὑπεραςπιςτὰς πρῶτος διέβη. fol. 223b διῆλθεν οὖν καὶ ἡ παράταξις αὐτοῦ πᾶςα. καὶ εὐθέως ἐκέλευςε τὰ ζεύγματα διαλυθῆναι τοῦ ποταμοῦ τοῦ Εὐφράτου· ὁ δὲ ςτρατὸς ἅπας ἐδυςχέραινεν[14]) ἐπὶ τούτῳ[15]), καὶ πλεῖον[16]) ἐδειλίων λέγοντες· ¡Ἀλέξανδρε βαςιλεῦ, εἰ γένοιτο ἡμᾶς

---

20) εἴδει 21) κοίλικα 22) ἀπαλάςςης 23) γεγραμένα 24) ὁμηόν 25) εὑρήςης 26) περιέπλακε 27) πρώτερον 28) εἶδεν 29) ςε 30) παρὰ ἀρμένιον 31) πεῖςε 32) ἐξήτηςε 33) ἀναιρεῖςε· 34) οἷο

9. 1) ἐπείγετο 2) ἐφράτην 3) κνήμεςιν· 4) διλιῶντας 5) κτήνει· 6) ςτρατόπαιδα 7) διλίας 8) ορῶντες εἶχον 9) ἐπείριαν 10) λιθῶςιν 11) αἰψαλίδες· 12) ἀπερᾶςαι 13) ἑαυτὸν 14) ἐδυςχέρενεν 15) τοῦτο· 16) πλείων

πολεμοῦντας ἀνατραπῆναι [17]) ὑπὸ τῶν βαρβάρων, πῶς ἔχωμεν τὴν σωτηρίαν ἡμῶν εὑρεῖν τοῦ διαπερᾶσαι; ὁ δὲ Ἀλέξανδρος ἰδὼν τὴν δειλίαν [18]) αὐτῶν καὶ ἀκούσας τὸν εἰς αὐτοὺς γενόμενον θρύλλον, συνάξας ἅπαντα τὰ στρατεύματα ἀπεφήνατο αὐτοῖς οὕτως· ἄνδρες συστρατιῶται, καλὰς ἐλπίδας δίδοτε τῆς νίκης, τοῦτο ἔχοντες κατὰ γνώμην ἡττημένοι ὑποστραφῆναι. διὰ τοῦτο οὖν ἐκέλευσα ἐκκοπῆναι τὴν γέφυραν, ἵνα πολεμοῦντες νικήσητε καὶ ἡττηθέντες μὴ φύγητε· οὐ γάρ ἐστιν ὁ πόλεμος φευγόντων ἀλλὰ διωκόντων. [19]) ὁμοῦ γὰρ τὴν ἐπάνοδον εἰς Μακεδονίαν ποιήσαντες νικηφόροι ὑποστρέψωμεν· ἡ γὰρ συμβολὴ [20]) τοῦ πολέμου παίγνιον ἡμῖν [21]) ἐστιν. καὶ οὕτως ἀποφηναμένου Ἀλεξάνδρου τιμὰς ἐδίδου τοῖς στρατεύμασιν καὶ εὐθύμως τῷ πολέμῳ ἐπέβαινον [22]) καὶ σκηνοποιούμενοι ἐκαθέζοντο.

fol. 224ᵃ Ὁμοίως δὲ καὶ τὸ Δαρείου στρατόπεδον ἐκαθέζετο ἐπάνω τοῦ Τίγριδος [23]) ποταμοῦ. συνέβαλον δὲ ἀλλήλοις εἰς πόλεμον, καὶ ἀμφότερα τὰ τάγματα γενναίως ἐπολέμουν πρὸς ἀλλήλους. καί τις τῶν Περσῶν, ὄπισθεν Ἀλεξάνδρου ἐλθών, ἀναλαβὼν Μακεδονικὸν ὅπλον καὶ ὡς σύμμαχος Μακεδόνων γενόμενος [24]) κατήνεγκε [25]) κατὰ τῆς κεφαλῆς Ἀλεξάνδρου καὶ ἔθραυσε τὴν κορυφὴν Ἀλεξάνδρου. καὶ εὐθέως δὲ συλληφθεὶς ὑπὸ τῶν στρατοπέδων Ἀλεξάνδρου παρίσταται [26]) αὐτῷ δέσμιος. ὁ δὲ Ἀλέξανδρος νομίσας αὐτὸν Μακεδόνα εἶναι λέγει αὐτῷ· ὦ γενναῖε [27]), τί σοι ἔδοξε τοῦτο ποιῆσαι; ὁ δὲ εἶπεν αὐτῷ· βασιλεῦ Ἀλέξανδρε, μὴ πλανήσῃ [28]) σε τὰ Μακεδονικὰ ὅπλα μου· ἐγὼ γὰρ Πέρσης εἰμί, Δαρείου σατράπης, καὶ προσελθὼν Δαρείῳ εἶπον αὐτῷ· ἐὰν σοι [29]) κομίσω τὴν κεφαλὴν Ἀλεξάνδρου, τί μοι χαρίζῃ; αὐτὸς δὲ [30]) ἐπηγγείλατό μοι χώραν βασιλείας καὶ τὴν θυγατέρα [31]) αὐτοῦ πρὸς γάμον. ἐγὼ οὖν παραγενόμενος πρὸς σὲ ἀνέλαβον [32]) σχῆμα Μακεδονικόν, (ἵνα μὴ ἀποτύχω· τανῦν δὲ) μὴ ἐπιτυχὼν (τοῦ σκοποῦ, ἵσταμαι δέσμιος ἐνώπιόν σου). ἀκούσας δὲ ταῦτα Ἀλέξανδρος, μεταπεμψάμενος ὅλον τὸ στρατόπεδον αὐτοῦ, θεωρούντων πάντων, τοῦτον [33])

fol. 224ᵇ ἀπέλυσεν. εἶπε δὲ πρὸς τὸν ἴδιον στρατόν· ἄνδρες Μακεδόνες [34]), τοιούτους ἔδει τοὺς στρατιώτας εἶναι τολμηροὺς πρὸς πόλεμον.

Cap. 10.

Λειφθέντες δὲ οἱ βάρβαροι † τὴν ἐπὶχρεῖαν † τῶν σιτίων, συστροφὴν ἐποίουν εἰς τὴν Βακτριανὴν [1]) χώραν· ὁ δὲ Ἀλέξανδρος ἐπέμενεν ἐκεῖ καὶ κατεκράτησεν ὅλον [2]) τὸν τόπον. ἕτερος δὲ σατράπης Δαρείου προσελθὼν Ἀλεξάνδρῳ εἶπεν· ἐγὼ σατράπης Δαρείου εἰμὶ καὶ μεγάλα αὐτῷ κατώρθωσα [3]) πράγματα ἐν πολέμοις καὶ οὐκ ηὐχαριστήθην [4]) παρ' αὐτοῦ· δός μοι οὖν μυρίους ἐνόπλους

---

17) ἀνατραπεῖναι 18) διλείαν 19) διοκόντων· 20) συμβουλὴ 21) ὑμῖν 22) συνέβαινον· 23) τίγρηδος 24) γεναμενος· 25) κατήνεγγε 26) παρίστατε 27) γεναῖε· 28) πλανήσει 29) σε 30) γὰρ 31) θυγατέραν 32) ἀννέλαβον· 33) τούτων πάντων 34) μακεδόναις
10. 1) βακτηριανὴν 2) ὅλην 3) κατόρθωσα 4) εὐχαρισθήτην

στρατιώτας καὶ δίδομαί[5]) σοι τὸν ἐμαυτοῦ[6]) βασιλέα Δαρεῖον. εἶπε δὲ αὐτῷ Ἀλέξανδρος· πορεύου καὶ βοήθει τῷ σεαυτοῦ βασιλεῖ Δαρείῳ· οὐ γὰρ πιστεύσω σοι τοὺς ἀλλοτρίους[7]) τῷ[8]) τοὺς ἰδίους προδιδόντι. ἔγραψαν οὖν οἱ ἐπ' ἐκείνων τῶν[9]) τόπων[10]) σατράπαι περὶ Ἀλεξάνδρου οὕτως· Δαρείῳ μεγάλῳ βασιλεῖ χαίρειν. καὶ πρότερον ἐν σπουδῇ φανεράν σοι ἐποιήσαμεν[11]) τὴν Ἀλεξάνδρου ἐπίβασιν τὴν γενομένην ἡμῶν ἐν τῷ ἔθνει, καὶ νῦν σοι πάλιν φανερὸν ποιοῦμεν πεφθακέναι (sic) αὐτόν, καὶ πολιορκεῖ τὴν χώραν ἡμῶν καὶ ἀνεῖλεν ἐξ ἡμῶν πλείστους Πέρσας καὶ ἡμεῖς δὲ αὐτοὶ κινδυνεύομεν τοῦ ἀπολέσθαι. τάχυνον οὖν μετὰ δυνάμεως πολλῆς τοῦ προφθάσαι αὐτὸν καὶ μὴ συγχωρῆσαι[12]) αὐτῷ ἐπελθεῖν σοι· fol. 225ᵃ δυναμικὸν γὰρ καὶ πλεῖστόν[13]) ἐστι τὸ Μακεδονικὸν στράτευμα καὶ κατισχύει[14]) ἡμῶν. ἔρρωσο.[15]) λαβὼν ὁ Δαρεῖος καὶ ἀναγνοὺς τὰ γράμματα αὐτῶν πέμπει ἐπιστολὴν πρὸς Ἀλέξανδρον ἔχουσαν[16]) οὕτως· Μαρτυροῦμαί σοι .... ἐφ' οἷς με[17]) εἰργάσω[18]) .... τὴν μητέρα μου εἰς θεοὺς πεπορεῦσθαι[19]) ἡγοῦμαι, γυναῖκα δὲ μὴ ἐσχηκέναι, τὰ δὲ τέκνα μου μὴ γεγεννῆσθαι.[20]) ἐγὼ δὲ οὐ παύσομαι τὴν ὕβριν μου ἐπιζητῶν .... ἐγράφη γάρ μοι, ὅτι δικαίως διετέθης καὶ εὐσεβῶς πρὸς τοὺς ἐμούς. εἰ ἄρα δὲ καὶ δικαίως ἐποίεις, τὰ πρὸς ἐμὲ δίκαια ἔπραξας. ἔξεστι δέ σοι τῶν ἐμῶν μὴ φείδεσθαι· κακούχει δὲ αὐτὰς τιμωρίαις[21]), πολεμίων γὰρ τέκνα τυγχάνουσιν. οὔτε γὰρ εὐεργετῶν αὐτὰς ἕξεις[22]) με φίλον οὔτε κακοποιῶν αὐτὰς ἐχθρόν. δεξάμενος δὲ Ἀλέξανδρος καὶ ἀναγνοὺς τὰ γράμματα Δαρείου ἐμειδίασε καὶ ἀντέγραψεν αὐτῷ ταῦτα· Ἀλέξανδρος βασιλεὺς Δαρείῳ χαίρειν. τὰς κενάς[23]) σου ἀπονοίας καὶ φλυάρους καὶ ματαίας ὁμιλίας οἱ θεοὶ ἐμίσησαν ἕως τέλους. καὶ οὐ δυσωπῇ βλασφημῶν καὶ κενὰ ὑπονοῶν· οὐ γὰρ φοβούμενός σε τετίμηκα τούς ποτε σούς, οὔτε ἐλπίζων ἐλθεῖν εἰς διαλλαγὴν πρὸς σέ, ἵνα παραγενόμενος[24]) εὐχαριστήσῃς[25]) ἡμῖν. μὴ παραγίνου οὖν πρὸς fol. 225ᵇ ἡμᾶς· οὐ γὰρ ἄξιόν σοι τὸ ἐμὸν διάδημα τοῦ σοῦ διαδήματος· οὐ μὴν κωλύσεις[26]) τὴν πρὸς ἅπαντας μου εὐσέβειαν[27])· ἀλλὰ καὶ περισσοτέραν πρὸς τούς ποτε σοὺς ἐνδείξομαι ἀγαθὴν γνώμην. ἐσχάτην οὖν σοι ἐπιστολὴν γράφω .... μᾶλλον (?)

Cap. 11.

Καὶ ταῦτα γράψας Δαρείῳ Ἀλέξανδρος ἕτοιμος γέγονε πρὸς πόλεμον καὶ ἔγραψε πᾶσι τοῖς σατράπαις· (Βασιλεὺς Ἀλέξανδρος σατράπαις) [καὶ] πᾶσι τοῖς ὑποτεταγμένοις αὐτῷ, Φρυγίας, Καππαδοκίας[1]), Παφλαγονίας[2]), Ἀραβίας, καὶ πᾶσι τοῖς ἑτέροις χαίρειν. βούλομαι ὑμᾶς χιτῶνας κατασκευάσαι πλήθους πολλοῦ[3]), καὶ

5) δίδομέ 6) ἐμαυτὸν 7) ἀλλοτρίοις 8) τὸ 9) τὸν 10) τόπον 11) ἐποιήσαμενεν 12) συγχωρεῖσαι 13) πλεῖσθον 14) κατισχεῖ 15) ἔρρωσον· 16) ἔχοντα 17) μη 18) εργάσω 19) πορεύεσθαι 20) γενῆσθαι· 21) τιμωρίας· 22) ἕξης 23) κενά 24) παραγενόμενον 25) εὐχαριστήσεις 26) κολύσης 27) εὐσέβαν· **11.** 1) καπαδοκίας· 2) παμφλαγονίας· 3) πολοῦ·

στεῖλαι ἡμῖν[4]) ἐν Ἀντιοχείᾳ[5]) τῆς Συρίας· τὰς δὲ ὁπλοθήκας ἃς ἐσκευάσατε ἀποστείλατε ἡμῖν· διατεταγμένοι γάρ εἰσιν κάμηλοι τρισχίλιοι[6]) ἀπὸ τοῦ Εὐφράτου[7]) ποταμοῦ μέχρι Ἀντιοχείας[8]) τῆς πρὸς Συρίαν (sic), πρὸς τὸ διακονεῖν καθὼς προσετάξαμεν, ἵνα ἀκαθυστέρητον τὴν ὑπουργίαν εὕρωμεν. ἐν σπουδῇ οὖν παραγίνεσθε[9]) εἰς ἡμᾶς.

Ἔγραψαν δὲ καὶ οἱ σατράπαι Δαρείου οὕτως· Δαρείῳ μεγάλῳ βασιλεῖ (χαίρειν). εὐλαβῶς ἔχομεν τοιαῦτα γράφειν σοι, fol. 226ᵃ ἀναγκαζόμεθα δὲ ὑπὸ τῶν πραγμάτων. γίνωσκε, βασιλεῦ, ὅτι ὁ ἡγούμενος Μακεδόνων Ἀλέξανδρος δύο ἡμῶν τῶν μεγιστάνων πεφόνευκε[10]), τινὲς δὲ τῶν μεγιστάνων διέβησαν πρὸς Ἀλέξανδρον[11]) σὺν ταῖς παλλακίσιν. γνοὺς δὲ Δαρεῖος ταῦτα γράφει τοῖς ἔγγιστα στρατηγοῖς καὶ τοῖς σατράπαις αὐτοῦ [τοῦ] γενέσθαι ἑτοίμους καὶ παρεμβολὴν[12]) τιθέναι. ἔγραψε δὲ καὶ τοῖς ἔγγιστα αὐτοῦ βασιλεῦσιν οὕτως· Δαρεῖος βασιλεὺς βασιλέων χαίρειν. ὡς μελλόντων ἡμῶν ἱδρῶτα ἀπομάξασθαι, ἀγωνίσασθαι μέλλομεν πρὸς ταλαίπωρόν[13]) τι ἔθνος Μακεδόνων (καὶ) πολεμεῖν. προσέταξε δὲ καὶ τῷ Περσικῷ στρατοπέδῳ (ἑτοίμους εἶναι). ἔγραψε δὲ καὶ Πώρῳ[14]) βασιλεῖ τῶν Ἰνδῶν δεόμενος βοηθείας τυχεῖν παρ᾽ αὐτοῦ.

Cap. 12.

Δεξάμενος δὲ Πῶρος[1]) βασιλεὺς τὰ γράμματα Δαρείου καὶ ἀναγνοὺς τὰς συμφορὰς τὰς γινομένας αὐτῷ ἐλυπήθη. καὶ ἀντιγράφει[2]) αὐτῷ οὕτως· Πῶρος[1]) βασιλεὺς Ἰνδῶν βασιλεῖ Περσῶν[3]) Δαρείῳ χαίρειν. ἀναγνοὺς τὰ γραφόμενα ἡμῖν ὑπὸ σοῦ ἐλυπήθην σφόδρα καὶ ἀπορῶ[4]) θέλων[5]) σοι συντυχεῖν καὶ βουλεύσασθαι περὶ τῶν συμφερόντων, κωλυόμενος ὑπὸ τῆς συνεχούσης με σωματικῆς fol. 226ᵇ νόσου. εὐθύμως οὖν δίαγε, ὡς ἡμῶν συμπαρόντων[6]) σοι[7]), καὶ μὴ δυναμένων στέγειν[8]) τὴν ὕβριν ταύτην. πρὸς ὃ οὖν βούλει γράψον ἡμῖν· σοὶ γὰρ παράκειντανται αἱ ὑπ᾽ ἐμοὶ[9]) οὖσαι δυνάμεις, καὶ (εἰ μὴ ἀρκοῦσιν αἱ περικείμεναι δυνάμεις, καὶ) τὰ πορρωτέρω δὲ[10]) ὄντα ὑπακούσονταί μου ἔθνη. μαθοῦσα δὲ ταῦτα ἡ μήτηρ Δαρείου διεπέμψατο Δαρείῳ[11]), κρύφα γράψασα[12]) αὐτῷ οὕτως· Δαρείῳ τῷ ἐμῷ τέκνῳ χαίρειν. ἀκούω σε συναθροίζοντα ἔθνη καὶ βουλόμενον ἕτερον πόλεμον συνάψαι πρὸς Ἀλέξανδρον· μὴ οὖν ταράξῃς[13]) τὴν οἰκουμένην, τέκνον· τὸ γὰρ μέλλον[14]) ἄδηλόν ἐστιν. ἔασον οὖν ἐλπίδας ἐπὶ κρεῖσσον καὶ μὴ ἀποτομίαν[15]) ἀμφιβάλλων τοῦ ζῆν[16]) στερηθῇς. ἡμεῖς γάρ ἐσμεν ἐν μεγίστῃ τιμῇ παρὰ Ἀλεξάνδρῳ βασιλεῖ, καὶ οὐχ ὡς πολεμίου μητέρα ἔσχε[17]) με, ἀλλ᾽ ἐν

---

4) ὑμῖν 5) αντιοχία 6) τρισχίλλιοι· 7) ἐφράτου 8) ἀντειοχείας· 9) παραγίνεσθαι 10) πεφώνευκε 11) ἀλεξάνδρειαν 12) παραμβολὴν 13) ταλαίπορόν 14) πόρω **12.** 1) πόρως 2) ἀντιγράφειν 3) περσσῶν (ρ über σ) 4) ἀπόρῶ (μ über ρ) 5) θέλω 6) συνπαρόντων 7) σε· 8) στέγαν 9) ἐμοῦ 10) τε 11) δαρείου· 12) γράψας 13) ταράξεις 14) μέλλων 15) ἀποτομῆ χρησάμενος (wol glosse zu ἀμφιβάλλων) 16) ζεῖν 17) ἔσχειν

μεγάλη δορυφορίᾳ[18]), ὅθεν ἐλπίζω συνθήκας καλὰς ἐλεύσεσθαι. ἀναγνοὺς δὲ Δαρεῖος ἐδάκρυσεν ἀναμιμνησκόμενος[19]) τῆς ἑαυτοῦ συγγενείας· ἅμα δὲ ἐταράσσετο καὶ ἔνευε[20]) πρὸς πόλεμον.

Cap. 13.

Ὁ δὲ Ἀλέξανδρος ἔχων δύναμιν πολλὴν[1]) παραγίνεται ἐν τῇ Περσικῇ χώρᾳ. τὰ οὖν τείχη τῆς πόλεως ὑψηλὰ τυγχάνοντα τοῖς Μακεδόσι διάδηλα[2]) ἐγένετο. ἐπινοεῖ τι[3]) οὖν ὁ φρενήρης Ἀλέξανδρος, καὶ τὰ ἐκεῖ νεμόμενα ποίμνια τῶν νομῶν ἀποσπάσας[4]) καὶ ἐκ τῶν[5]) δένδρων κλάδους ἀποσπάσας ἐπέδησεν εἰς τὰ νῶτα αὐτῶν, καὶ ὄπισθεν τῶν στρατοπέδων ἐβάδιζον τὰ ποίμνια. συρόμενοι δὲ ἐπὶ τῆς γῆς οἱ κλάδοι ἀπώθουν[6]) τὴν κόνιν[7]), ἣν ἐσάλευον, καὶ ἀνήρχετο ὁ κονιορτὸς ἕως Ὀλύμπου[8]), ὥστε τοὺς Πέρσας ἀπὸ τῶν τειχέων[9]) δρῶντας[10]) ὑπονοεῖν πλῆθος ἄμετρον στρατοπέδων[11]) τυγχάνειν.[12]) ἑσπέρας δὲ γενομένης ἐκέλευσε δεθῆναι[13]) εἰς τὰ κέρατα τῶν ποιμνίων δᾷδας[14]) καὶ κηρία καὶ ταῦτα ἀναφθῆναι καὶ καίειν.[15]) ἦσαν γὰρ πεδινοὶ[16]) οἱ τόποι· καὶ ἦν θεωρούμενον ὅλον τὸ πεδίον[17]) ὡς πυρὶ[18]) καιόμενον. καὶ ἐδειλίασαν οἱ Πέρσαι. ἦλθον οὖν πλησίον τῆς πόλεως Περσίδος ὡς ἀπὸ σημείων [ἡμερῶν] ε΄, καὶ ἐζήτει Ἀλέξανδρός τινα[19]) πέμψαι πρὸς Δαρεῖον μηνύοντα[20]) αὐτῷ, πότε τὴν συμβολὴν[21]) τοῦ πολέμου ποιήσουσιν. κοιμᾶται[22]) οὖν Ἀλέξανδρος ἐν τῇ νυκτὶ ἐκείνῃ καὶ ὁρᾷ καθ᾽ ὕπνους[23]) τὸν Ἄμμωνα ἐν σχήματι Ἑρμοῦ παρεστῶτα αὐτῷ, ἔχοντα κηρύκιον[24]) καὶ χλαμύδα καὶ ῥάβδον, καὶ Μακεδονικὸν πιλίον[25]) ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, λέγοντα αὐτῷ· τέκνον Ἀλέξανδρε, ὅτε καιρός ἐστι βοηθείας, συμπάρειμί σοι· σὺ οὖν ἐὰν πέμψῃς ἄγγελον πρὸς Δαρεῖον, προδώσει σε· σὺ δὲ αὐτοῦ[26]) ἄγγελος γενοῦ καὶ πορεύου ἀναλαβὼν τὸ σχῆμα ὅπερ ὁρᾷς με ἔχειν. ὁ δὲ Ἀλέξανδρος εἶπεν αὐτῷ· ἐπικίνδυνόν με βασιλέα ὄντα δι᾽ ἑαυτοῦ ἄγγελον γενέσθαι. λέγει Ἄμμων· ἀλλὰ θεὸν ἔχων βοηθὸν τυγχάνοντα, οὐδὲν βλαβερὸν ἐπακολουθήσει[27]) σοι. λαβὼν δὲ ὁ Ἀλέξανδρος τοῦτον τὸν χρησμὸν ἀνίσταται χαίρων καὶ μεταδίδωσι[28]) τοῖς σατράπαις αὐτοῦ. οἱ δὲ συνεβούλευον αὐτῷ τοῦτο μὴ ποιῆσαι.

(fol. 227a, fol. 227b)

Cap. 14.

Παραλαβὼν δὲ μεθ᾽ ἑαυτοῦ Εὔμηλον τοὔνομα σατράπην, ἄρας μεθ᾽ ἑαυτοῦ τρεῖς ἵππους εὐθέως ὥδευσε καὶ παραγίνεται εἰς τὸν καλούμενον Στράγγαν[1]) ποταμόν. οὗτος δὲ ὁ ποταμὸς πήγνυται ταῖς

---

18) δοροφορία· 19) ἀναμνησκόμενος 20 ἔνεβε **13.** 1) πολήν· 2) διάδημα 3) τί 4) cod.: καὶ τῶν ἐκεῖ νεμομένων ποιμνίων τὰς νομὰς ἀπὸσπάσας· 5) ἐκτῶν 6) ἀπὸθούσαν 7) κόνην· 8) ὀλύπου· 9) τειχείων 10) ὁρόντας 11) στρατοπαίδων 12) τυγχάνει· 13) δὲ θῆναι 14) δάδας 15) κέειν· 16) παιδινοὶ 17) τοπαιδίον 18) πῦρ 19) τινὰς 20) μηνίοντα 21) συμβουλὴν 22) κοιμάτε 23) ὕπνου 24) κηρίκιον 25) παλλίον 26) αὐτοῦ (vielleicht αὐτός oder δι᾽ αὐτοῦ statt δὲ αὐτοῦ) 27) ἐπακολουθήσῃ 28) μεταδίδωσοι **14.** 1) στράγαν

χιόcιν[2]) ὥcτε ἐδαφοῦcθαι αὐτὸν καὶ πετρώδη γίνεcθαι καὶ διαπεράcθαι ἐπάνω αὐτοῦ τὰ κτήνη καὶ ἁμάξαc· εἶτα μεθ' ἡμέραc λύεται καὶ γίνεται βαθύρρουc[3]), ὥcτε καταcύρειν τοὺc ληφθένταc[4]) τῷ ῥεύματι διαπερῶνταc. εὗρεν οὖν παγέντα τὸν ποταμὸν Ἀλέξανδροc, καὶ ἀναλαβὼν τὸ cχῆμα ὅπερ εἶδε[5]) δι' ὀνείρου φοροῦντα τὸν Ἄμμωνα, καθίcαc εἰc τὸν Βουκέφαλον ἵππον διαπερᾷ μόνοc. τοῦ δὲ Εὐμήλου παρακαλοῦντοc αὐτὸν cὺν αὐτῷ διαπερᾶcαι, μὴ γένηται οὕτω τιc[6]) ἀνάγκη[7]) βοηθείαc, Ἀλέξανδροc[8]) λέγει αὐτῷ· ὧδε μεῖνον μετὰ τῶν δύο πώλων· ἔχω γὰρ βοηθὸν τὸν χρηcμοδοτήcαντά μοι τοῦτο τὸ cχῆμα ἀναλαβεῖν καὶ μόνον με πορευθῆναι. εἶχε δὲ ὁ ποταμὸc τὸ πλάτοc μέτρον cταδίου ἑνόc. καὶ ἀποβὰc Ἀλέξανδροc ὥδευcε καὶ ἦλθεν ἔγγιcτα τῶν πυλῶν Περcίδοc· καὶ οἱ ἐκεῖ φρούραρχοι θεαcάμενοι αὐτὸν ἐν τοιούτῳ cχήματι ὑπενόουν αὐτὸν θεὸν εἶναι [τὸν Ἀλέξανδρον]. καταcχόντεc[9]) δὲ αὐτὸν ἐπυνθάνοντο[10]) παρ' αὐτοῦ[11]) τίc ἂν εἴη. εἶπε δὲ αὐτοῖc Ἀλέξανδροc· βαcιλεῖ Δαρείῳ παραcτήcατέ με[12])· αὐτῷ γὰρ ἀπαγγελῶ τίc [ἄν] εἰμι. ἔξω δ' ἐπὶ λόφων[13]) ἦν Δαρεῖοc cτρατοὺc[14]) ὀρύccων[15]) καὶ φάλαγγαc cυντάccων ὡc ἡρώων ὄντων τῶν Μακεδόνων. (?) cυναθροίcαc δὲ Ἀλέξανδροc τῇ[16]) θεωρίᾳ τῇ ξένῃ πάνταc, παρ' ὀλίγον δὲ προcεκύνηcεν αὐτὸν Δαρεῖον, θεὸν νομίcαc αὐτὸν ἐξ Ὀλύμπου[17]) κατελθόντα, καὶ βαρβάρων cτολαῖc κεκοcμῆcθαι.[18]) ὁ δὲ Δαρεῖοc ἐκαθέζετο, διάδημα φορῶν λίθοιc πολυτίμοιc....[19]), ἐcθῆτα δὲ Cηρικὴν[20]) Βαβυλωνίοιc ὑφάcμαcιν (καὶ) χρυcονήμαcι (ὑφαcμένην) καὶ πορφύραν βαcιλικὴν χρύcεά[21]) τε ὑποδήματα[22]) διὰ λίθων κεκοcμημένα[23]) μέχρι τῶν κνημῶν[24]) αὐτοῦ, cκῆπτρα δὲ[25]) ἑκατέρωθεν, cτίφη[26]) δὲ μυριάδων[27]) πέριξ αὐτοῦ. ὁ δὲ Δαρεῖοc ἐπυνθάνετο αὐτοῦ τίc [ἂν] ἐτύγχανεν[28]), θεωρήcαc φοροῦντα αὐτὸν cχῆμα ὃ μηδέποτε εἶδεν.[29]) ὁ δὲ Ἀλέξανδροc εἶπεν αὐτῷ· ἄγγελόc εἰμι Ἀλεξάνδρου τοῦ βαcιλέωc. καὶ λέγει αὐτῷ Δαρεῖοc ὁ βαcιλεύc· καὶ τί πάρει πρὸc ἡμᾶc; ὁ δὲ Ἀλέξανδροc εἶπεν· ἐγώ cοι μηνύω, ὡc παρόντοc Ἀλεξάνδρου, πότε τὸν πόλεμον cυνάπτειc; γίνωcκε οὖν, βαcιλεῦ Δαρεῖε, ὅτι βραδύνων εἰc μάχην βαcιλεὺc ἤδη πρόδηλόc ἐcτι τῷ[30]) ἀντιδίκῳ[31]), ἀcθενῆ ἔχων τὴν ψυχὴν εἰc τὸ πολεμεῖν. ὥcτε οὖν μὴ ἀμέλει, ἀλλὰ ἀνάγγειλόν[32]) μοι πότε βούλει cυνάψαι τὸν πόλεμον. ὁ δὲ Δαρεῖοc ὀργιcθεὶc εἶπε τῷ Ἀλεξάνδρῳ· cοὶ[33]) οὖν cυνάπτω τὸν πόλεμον ἢ Ἀλεξάνδρῳ; οὕτωc γὰρ εἶ θραcυνόμενοc ὡc αὐτὸc Ἀλέξανδροc τυγχάνων, καὶ τολμηρῶc[34]) ἀποκρίνῃ[35]) ὡc ἐμοῦ

fol. 228a

fol. 228b

---

2) χίωcιν 3) βαθύρουc 4) λειφθένταc 5) ἴδε 6) τῆc 7) ἀνάγκηc 8) ἀλλέξανδροc 9) καταcχῶντα 10) ἐπυνθάνετο 11) αὐτῶν 12) μοι 13) λόφον (λόφῳ?) 14) cτράταc 15) ὁ ῥύccων 16) mscr. so: τῆ θεωρία τῆ ξενη· πάνταc παρ' ὀλίγον δὲ· πρὸcἐκύνηcεν αὐτῷ δάρειοc· θεὸν κτλ. 17) ολύπου 18) κεκοcμεῖcθε 19) in der hs. keine lücke. 20) cυρικὴν 21) χρυcέοιc 22) ὑποδήμαcι 23) κειμένων 24) τοῖc κνήμεcιν 25) δ.. (radiert in der hs.) 26) cτήφη 27) μυριάδεc 28) ἐτύχανεν· 29) ἴδεν· 30) τῶν 31) ἀντιδίκων· 32) ἀνάγγελόν 33) cὺ 34) τολμηρὸc 35) ἀπὸκρίνειν

ἕταιρος[36]) τυγχάνων. ἐπὶ οὖν τῷ cυνήθει δείπνῳ ἐλεύcομαι καὶ cυνδειπνήcειc μοι, διότι καὶ αὐτὸc Ἀλέξανδροc δεῖπνον ἐποίηcε fol. 229ᵃ τοῖc ἐμοῖc γραμματηφόροιc.[37]) καὶ οὕτωc εἰπὼν Δαρεῖοc, κρατήcαc ἐκ τῆc χειρὸc Ἀλέξανδρον, ἦλθεν ἔνδον τοῦ παλατίου αὐτοῦ. καὶ τοῦτο δὲ cημεῖον ἀγαθὸν ἔcχεν Ἀλέξανδροc χειραγωγηθεὶc ὑπὸ τοῦ τυράννου. καὶ εἰcελθὼν ἔνδον τοῦ παλατίου αὐτοῦ εὐθέωc ἀνεκλήθη πρῶτοc Ἀλέξανδροc εἰc τὸν δεῖπνον Δαρείου.

Cap. 15.

Οἱ δὲ Πέρcαι ἀπέβλεπον θαυμάζοντεc τὸν Ἀλέξανδρον, ἐπὶ τῇ τοῦ cώματοc cμικρότητι, ἀλλ' ἠγνόουν[1]) ὅτι ἐν μικρῷ ἀγγείῳ τύχηc οὐρανίου ἦν δόξα.[2]) τῶν[3]) δὲ πινόντων[4]) πυκνοτέρωc[5]) ἐν τοῖc cκύφοιc, Ἀλέξανδροc ἐπίνοιαν[6]) τοιαύτην ἐποίηcεν· ὅcουc cκύφουc ἔλαβεν, ἔcωθεν τοῦ κόλπου ἔβαλεν. οἱ δ' ἐμβλέποντεc[7]) αὐτῷ εἶπον τῷ Δαρείῳ. ἀναcτὰc δὲ ὁ Δαρεῖοc εἶπεν· ὦ γενναῖε, πρὸc τί ταῦτα ἐγκολπίζει κατακείμενοc ἐπὶ δείπνου; νοήcαc δὲ Ἀλέξανδροc ἀπὸ τοῦ cχήματοc*) τῆc ψυχῆc εἶπεν· μέγιcτε βαcιλεῦ, οὕτωc ὁ Ἀλέξανδροc ὅταν δεῖπνον ποιῇ τοῖc ταξιάρχαιc καὶ ὑπεραcπιcταῖc αὐτοῦ τὰ κύπελλα[8]) δωρεῖται· ὑπενόουν[9]) (οὖν) καὶ cὲ τοιοῦτον εἶναι, ὁποῖοc ἐκεῖνόc ἐcτι, καὶ ἡγηcάμην πιθανότητι[10]) τοῦτο ποιεῖν. τὸν λόγον οὖν Ἀλεξάνδρου οἱ Πέρcαι ἐκ- fol. 229ᵇ πλαγέντεc ἐθαύμαζον· πλαcτὸc[11]) γὰρ ἀεὶ μῦθοc ἐὰν ἔχῃ[12]) πίcτιν ἐν ἐκcτάcει ποιεῖ[13]) τοὺc ἀκούονταc. πολλῆc οὖν cιγῆc γενομένηc ἀνεγνώριcε[14]) τὸν Ἀλέξανδρον Παραγάτηc τοὔνομα ὁ γενόμενοc ἡγεμὼν ἐν τῇ Περcίδι· ᾔδει[15]) γὰρ ἀληθῶc τὸν Ἀλέξανδρον κατὰ πρόcωπον. ἡνίκα γὰρ τὸ πρῶτον ἦλθεν εἰc τὴν Πέλλην[16]) τῆc Μακεδονίαc ὑπὸ Δαρείου πεμφθεὶc πρέcβυc[17]) τοὺc φόρουc ἀπαιτῶν[18]) καὶ ἐκωλύθη[19]) ὑπὸ Ἀλεξάνδρου, τοῦτον ἐπεγίγνωcκεν. καὶ κατανοήcαc ἐπιεικῶc τὸν Ἀλέξανδρον[20]) εἶπεν ἐν ἑαυτῷ· οὗτόc ἐcτιν ὁ Φιλίππου παῖc, εἰ καὶ τοὺc τύπουc αὐτὸc ἤλλαξε· πολλοὶ γὰρ ἄνθρωποι τῇ φωνῇ γινώcκονται, κἂν ἐν cκοτίᾳ[21]) διαβαίνωcιν.[22]) οὗτοc οὖν πληροφορηθεὶc ὑπὸ τῆc ἰδίαc cυνειδήcεωc, ὅτι αὐτόc ἐcτιν ὁ Ἀλέξανδροc, προcανακλιθεὶc[23]) τῷ Δαρείῳ[24]) εἶπεν αὐτῷ· μέγιcτε βαcιλεῦ Δαρεῖε καὶ δυνάcτα πάcηc χώραc, οὗτοc ὁ πρέcβυc[25]) Ἀλεξάνδρου αὐτόc ἐcτιν Ἀλέξανδροc ὁ Μακεδόνων βαcιλεύc, ὁ πάλαι Φιλίππου γεγονὼc ἀριcτεύων. ὁ δὲ Δαρεῖοc καὶ οἱ cυνέcτιοι[26]) αὐτοῦ ἦcαν οἰνούμενοι[27]) cφόδρα. ὁ οὖν Ἀλέξανδροc ἀκούcαc τὸν λόγον Παραγάτου τὸν ῥηθέντα fol. 230ᵃ

---

36) ἕτεροc 37) γραμματιφόροιc· **15.** 1) ἔγνώουν 2) δόξηc 3) τὸν 4) πεινόντων 5) πυκροτέρωc 6) ἐποίνιαν 7) δὲ βλέποντεc *) wol eine lücke anzunehmen 8) κύπελα 9) ὑπεννόουν 10) πειθανότητι 11) παc τὶ (πᾶc τιc) 12) ἔχει 13) ποιεῖν 14) ἀνιcτόριcε 15) εἴδη 16) πέλην 17) πρέcβευc 18) ἀπετῶν· 19) ἐκολλήθη 20) τῷ Ἀλεξάνδρῳ 21) cκοτεία 22) διαβαίνών· 23) προcανακληθεὶc 24) δαρίῳ 25) πρέcβειc 26) cυνεcθίωτεc (cυνεcθίοντεc αὐτῷ?) 27) ὁ'νόμενοι (οἰνωμένοι?)

ὑπ᾽ αὐτοῦ τῷ Δαρείῳ ἐπὶ τοῦ δείπνου, cυννοήcαc[28]) γνωcτὸν[29]) ἑαυτὸν[30]) γενέcθαι, πλανήcαc[31]) πάνταc ἥλατο[32]), ἔχων ἐν τοῖc κόλποιc αὐτοῦ τοὺc χρυcοῦc cκύφουc, καὶ ἐξῆλθεν λαθραίωc ἐγκαθίcαc[33]) τῷ πώλῳ αὐτοῦ ὥcτε φυγεῖν τὸν κίνδυνον. καὶ εὑρὼν πρὸc τῷ πυλῶνι Πέρcην[34]) φύλακα ἀνεῖλεν αὐτὸν καὶ ἐξῆλθεν τὴν Περcικὴν πόλιν.[35]) ὁ δὲ Δαρεῖοc διαγνοὺc ἐξέπεμψε Πέρcαc ἐνόπλουc τὸν Ἀλέξανδρον καταλαβεῖν. ὁ δὲ Ἀλέξανδροc ἐπροθυμοποίει τὸν πῶλον, διευθύνων[36]) αὐτῷ[37]) τὴν ὁδόν· ἦν γὰρ νὺξ βαθεῖα καὶ cκότοc κατ᾽ Ὀλύμπου. πλεῖcτοι δὲ τοῦτον κατεδίωκον καὶ οὐ κατέλαβον αὐτόν· οἱ μὲν γὰρ εἶχον τὴν ὁδευτικὴν γῆν, οἱ δὲ ὑπὸ[38]) cκότουc cυνέπιπτον εἰc τοὺc κρημνούc[39])· ὁ δὲ Ἀλέξανδροc ἦν ὥcπερ ἀcτὴρ ἐξ οὐρανοῦ φαιδρὸc ἀνιὼν μόνοc. καὶ εἰc οὐδὲν φεύγων ἡγεῖτο τοὺc Πέρcαc. Δαρεῖοc δὲ cυνεφοράζετο ἐπὶ τοῦ κλιντῆροc αὐτοῦ καθεζόμενοc. πρὸc τούτοιc δὲ † ἐθαυμάζετο· τί ἂν ᾖ cήμερον † (ἐθεάcατό τι cημεῖον?) εἰκὼν γὰρ Ξέρξου τοῦ βαcιλέωc ἐξαίφνηc[40]) ἐκ τοῦ ὀρόφου ἐξέπεcεν, ἣν πάνυ ἠγάπα Δαρεῖοc, ὅτι ἦν εὐπρεπεcτάτη τῇ γραφῇ. ὁ δὲ Ἀλέξανδροc διαcωθεὶc τῇ νυκτὶ ἐκείνῃ φεύγων ἦλθεν ἕωθεν ἐπὶ τὸν Cτράγγαν ποταμόν· καὶ ἅμα τῷ διαπερᾶcαι αὐτόν[41]), ἐπὶ τὴν ὄχθην[42]) ἐλθόντοc τοῦ πώλου καὶ τοὺc ἐμπροcθίουc πόδαc θέντοc ἐπὶ τῆc γῆc, ὁ ποταμὸc διελύθη ὑπὸ τῆc τοῦ ἡλίου ἀκτῖνοc, καὶ ὁ μὲν πῶλοc ἐφέρετο ὑπὸ[43]) τοῦ ὕδατοc ἁρπαγείc, τὸν δὲ Ἀλέξανδρον ἔρριψεν ἐπὶ τὴν γῆν. οἱ δὲ Πέρcαι διώκοντεc τὸν Ἀλέξανδρον ἦλθον ἐπὶ τὸν ποταμὸν ἤδη διαπεράcαντοc τοῦ Ἀλεξάνδρου· αὐτοὶ δὲ μὴ δυνηθέντεc διαπερᾶcαι ὑπέcτρεψαν· ὁ γὰρ ποταμὸc ἦν ἀπέρατοc πᾶcιν ἀνθρώποιc. οἱ οὖν Πέρcαι cτραφέντεc τῷ Δαρείῳ βαcιλεῖ ἀπήγγειλαν[44]) τὸ εὐτύχημα Ἀλεξάνδρου· ὁ δὲ Δαρεῖοc καταπληττόμενοc τῷ παραδόξῳ cημείῳ ἐλυπήθη πάνυ. ὁ δὲ Ἀλέξανδροc πεζεύcαc ἀπὸ τοῦ ποταμοῦ εὗρε τὸν Εὔμηλον καθεζόμενον μεθ᾽ ὧν κατέλειπε δύο πώλων, καὶ ἀφηγήcατο[45]) αὐτῷ[46]) πάντα τὰ πραχθέντα.

fol. 230b (marginal)

Cap. 16.

Ἐλθὼν δὲ εἰc τὴν παρεμβολὴν τῶν cτρατευμάτων εὐθέωc ἐκέλευcε τὰc φάλαγγαc τῶν Ἑλλήνων ἐξ ὀνόματοc καθοπλιcθῆναι[1]) καὶ ἑτοίμωc παραcτῆναι Δαρείῳ. αὐτὸc δὲ ἐν μέcῳ αὐτῶν[2]) ἕcτηκεν παραθαρρύνων αὐτούc, καὶ cυναθροίcαc πάντα τὰ cτρατεύματα εὗρε τὸν ἀριθμὸν χιλιάδαc[3]) ἑκατὸν εἴκοcι. καὶ cτὰc ἐφ᾽ ὑψηλοῦ τόπου τινὸc παραινεῖ αὐτοῖc λέγων· ἄνδρεc cυcτρατιῶται, εἰ καὶ βραχὺc ὁ ἀριθμὸc ἡμῶν, ἀλλὰ φρόνηcιc μεγάλη παρ᾽ ἡμῖν

fol. 231a (marginal)

---

28) cυνοήcαc 29) γνωcθὸν 30) ἑαυτῷ 31) πλανίcαc 32) εἴλατο 33) λαθραίωc· καὶ καθίcαc 34) πέρcον 35) πόλην· 36) διευθύνον 37) αὐτοῦ 38) ἐπὶ 39) κρυμνοῦc· 40) ἐξέφνηc 41) ἅμα αὐτὸν δι'πέραcεν 42) ὄχθαν 43) ἐπὶ 44) ἀπείγγειλαν 45) ἀφηγείcατο 46) αὐτοῦ **16.** 1) καθοπληcθῆναι 2) αὐτὸν 3) χιλιάδεc

καὶ θάρσος καὶ δύναμις ὑπὲρ [4]) τοὺς Πέρσας τοὺς ἐναντίους ἡμῶν. μηδεὶς οὖν ὑμῶν ἀσθενέστερόν τι λογίσηται [5]) θεωρῶν τὸ πλῆθος τῶν βαρβάρων· εἷς γάρ τις ἐξ ὑμῶν χεῖρα γυμνώσας τῶν ἀντιμάχων χιλίους [6]) ἀναιρήσει. μηδεὶς (οὖν) ὑμῶν δειλιάσῃ [7])· πολλαὶ γάρ εἰσιν μυριάδες μυιῶν [8]) λειμῶνα θλίβουσαι· ὁπόταν δὲ ταύταις βομβῶσι σφῆκες [9]), σοβοῦσιν αὐτὰς ταῖς πτέρυξι· οὕτως καὶ τὸ πλῆθος οὐδέν ἐστι πρὸς σύνεσιν· σφηκῶν [10]) γὰρ ὄντων οὐδέν εἰσιν αἱ μυῖαι. [11]) καὶ οὕτως εἰπὼν Ἀλέξανδρος ἐθάρσυνεν τὰ στρατεύματα αὐτοῦ· τὰ [12]) δὲ στρατεύματα ἠνδραγάθουν καὶ εὐφήμουν τὸν Ἀλέξανδρον. ὁδεύσας οὖν ἔρχεται ἐπὶ τὰ μέρη τοῦ [13]) Στράγγα ποταμοῦ, τουτέστιν ἐπὶ τὰ νῶτα αὐτοῦ. ὁ δὲ Δαρεῖος ἀναλαβὼν τὴν δύναμιν αὐτοῦ ἔρχεται καὶ αὐτὸς ἐπὶ τὸν Στράγγαν· καὶ ἰδὼν ὀλιγοστὸν αὐτὸν καὶ παγέντα περάσας διώδευσε καὶ ἐφέρετο διὰ μέσης [14]) τῆς ἐρήμου, βουλόμενος πρῶ- fol. 231 b τος ὑπεισελθεῖν τοῖς στρατεύμασιν Ἀλεξάνδρου, ὅπως εὕρωσιν αὐτοὺς ἀπαρασκεύους, καὶ τούτους τροπώσηται. κήρυκες δὲ εἰς μέσον ἐλθόντες ἐκήρυξαν καλοῦντες εἰς μάχην τοὺς ἀριστέας. ὁ δὲ πᾶς στρατὸς Δαρείου ἐθωρακίσαντο [15]) πανοπλίᾳ. [16]) ὁ δὲ Δαρεῖος ἦν ἐφ' ἅρματος ὑψηλοῦ, καὶ οἱ σατράπαι αὐτοῦ ἐπὶ δρεπανηφόρων ἁρμάτων ἐκαθέζοντο, ἄλλοι δὲ ἐκόμιζον ὅπλα πανουργικὰ καὶ δόρατα μηχανικά. τῶν δὲ στρατοπέδων [17]) τῶν Μακεδονικῶν ἡγεῖτο Ἀλέξανδρος καθεζόμενος ἐπὶ τὸν Βουκέφαλον ἵππον· προσεγγίσαι δὲ τούτῳ [18]) τῷ ἵππῳ οὐδεὶς ἐδύνατο. ὡς δὲ ἑκάτερον μέρος ἔκλαγξε [19]) πολεμικὸν μέλος, οἱ μὲν λίθους ἔβαλλον [20]), οἱ δὲ τόξα ἔπεμπον ὡς ὄμβρον ἀπὸ οὐρανοῦ φερόμενον, οἱ δὲ † ζύγενας † ἔβαλλον [20]), ἕτεροι δὲ βολίδας [21]) ἐσφενδόνιζον, ὥστε ἐπικαλύπτειν τὸ τῆς ἡμέρας φέγγος. πολλὴ [22]) δὲ σύγχυσις ἦν [23]) τυπτόντων καὶ τυπτομένων· πολλοὶ μὲν βέλεσι τρωθέντες ἔθνησκον, ἄλλοι δὲ ἡμισφαγεῖς ἔκειντο· γνοφερὸς δὲ ἦν ὁ ἀὴρ καὶ αἱματώδης. πολλῶν δὲ Περσῶν ὀλεθρίως [24]) τελευτησάντων, ὁ δὲ fol. 232 a Δαρεῖος φοβηθεὶς ὑπέστρεψε τὰς ἡνίας τῶν ἁρμάτων τῶν δρεπανηφόρων καὶ τροχιζόντων τοὺς ἑαυτοῦ ὄχλους καὶ θεριζόντων· αὐτὸς (γὰρ) Δαρεῖος ἐθέριζε τοὺς πολλοὺς [25]) ὄχλους τῶν Περσῶν, ὡς ἐπ' ἀρούρας [26]) στάχυας ἀγρῶται κείροντες. καὶ ἐλθὼν Δαρεῖος ἐπὶ τὸν Στράγγαν ποταμὸν φεύγων αὐτὸς μὲν [οὖν] καὶ οἱ σὺν αὐτῷ διεπέρασαν, εὑρόντες παγέντα τὸν ποταμόν, τὰ δὲ πλήθη τῶν Περσῶν καὶ βαρβάρων βουληθέντα διαπερᾶσαι τὸν ποταμὸν καὶ φυγεῖν, εἰσῆλθον πρὸς αὐτὸν ἅπαντα τὰ πλήθη καὶ ἐλύθη καὶ ἥρπασε πάντας ὅσους εὗρε. οἱ δὲ λοιποὶ Πέρσαι ὑπὸ τῶν Μακεδόνων ἀναιροῦνται. [27]) ὁ δὲ Δαρεῖος φυγὰς γενόμενος ἦλθεν εἰς

---

4) ὑπὸ 5) λογήσηται· 6) χιλίας 7) δειλιάσει· 8) μυων 9) σφῖκες· 10) σφικῶν 11) μυΐαις· 12) die worte τὰ δὲ στρ. von jüngerer hand am rande. 13) τοῦ τὰ μέρη (sic) 14) μέσου 15) ἐθορακίσαντο 16) ἐνοπλία· 17) στρατοπαίδων 18) τοῦτο 19) ἔκραξε 20) ἔβαλον· 21) μολίβδας (μολίβδους oder μολιβδίδας) 22) πολλοὶ 23) ἦν 24) ὀλεθροίως 25) πολούς 26) αρούρης 27) ἀναιροῦντο·

τὸ ἑαυτοῦ παλάτιον καὶ ῥίψαϲ ἑαυτὸν εἰϲ τὸ ἔδαφοϲ ἀνοιμώξαϲ[28]) ϲὺν δάκρυϲιν ἐθρήνει ἑαυτόν, ἀπολέϲαϲ τοϲοῦτον πλῆθοϲ ϲτρατιωτῶν καὶ τὴν Περϲίδα ὅλην ἐρημώϲαϲ. ϲυμφοραῖϲ δὲ τοιαύταιϲ ϲυνεχόμενοϲ[29]) ἐθρήνει ἑαυτῷ λέγων· ὁ τηλικοῦτοϲ βαϲιλεὺϲ Δαρεῖοϲ, ὁ τοϲαῦτα ἔθνη ὑποτάξαϲ καὶ πάϲαϲ τὰϲ πόλειϲ δουλωϲάμενοϲ, ὁ θεῶν ϲύνθρονοϲ γενόμενοϲ[30]) καὶ τῷ ἡλίῳ ϲυνανατείλαϲ νῦν φυγὰϲ ἐγενόμην ἔρημοϲ. ἀληθῶϲ τὸ μέλλον οὐδεὶϲ ἀϲφαλῶϲ βουλεύεται· ἡ[31]) γὰρ τύχη[32]) εἰ[33]) βραχεῖαν λάβῃ[34]) ῥοπὴν τοὺϲ ταπεινοὺϲ ὑπεράνω τῶν νεφελῶν ἀναβιβάζει καὶ τοὺϲ ἀπὸ ὕψουϲ εἰϲ Ἅιδου κατάγει.[35]) ἔκειτο οὖν Δαρεῖοϲ ἔρημοϲ ἀνθρώπων, ὁ τοϲούτων ἐθνῶν βαϲιλεὺϲ γενόμενοϲ.

fol. 232 b

Cap. 17.

Ὀλίγον οὖν διανήψαϲ καὶ διαναϲτὰϲ καὶ εἰϲ ἑαυτὸν γενόμενοϲ ἐτύπωϲεν ἐπιϲτολὴν καὶ πέμπει εἰϲ Ἀλέξανδρον περιέχουϲαν οὕτωϲ· Δαρεῖοϲ Ἀλεξάνδρῳ τῷ ἐμῷ δεϲπότῃ χαίρειν. ὁ τὸ φῶϲ μοι δείξαϲ ὑπερφρονήϲαϲ μέγαν ἔρωτα ἔϲχεν εἰϲ τὴν Ἑλλάδα ϲτρατεύϲαϲθαι, ἄπληϲτοϲ[1]) χρυϲίου γενόμενοϲ καὶ τῆϲ ἄλληϲ εὐδαιμονίαϲ τῆϲ ὑπαρχούϲηϲ[2]) ἡμῖν ἐκ πατέρων. ἀπέθανεν[3]) οὖν πολὺ χρυϲίον καὶ πολὺ[4]) ἀργύριον καὶ πολλὰϲ[5]) ϲκηνὰϲ[6]) ἀπολέϲαϲ ὑπὲρ Κροῖϲον τὸν Λύδιον πλουτήϲαϲ, καὶ τὸν ἐνεϲτῶτα θάνατον οὐκ ἐξέφυγεν.[7]) τοίνυν[8]), Ἀλέξανδρε, ϲὺ οὖν κατανοήϲαϲ[9]) τύχην[10]) καὶ νέμεϲιν[11]) τὸ μέγα φρονεῖν ὑπεϲτήϲω(?). οἴκτειρον οὖν ἡμᾶϲ πρὸϲ ϲὲ καταφεύγονταϲ. πρὸϲ Διὸϲ[12]) καὶ τῆϲ ἄλληϲ[13]) ὑπαρχούϲηϲ[14]) ἡμῖν εὐγενείαϲ ἀπὸ Περϲῶν [καὶ] ἀπόδοϲ[15]) μοι τὴν γυναῖκά μου καὶ τὴν μητέρα καὶ τὰ τέκνα, μνηϲθεὶϲ τῶν πατρῴων ἐλπίδων. καὶ ἀντὶ τούτων ὑπιϲχνοῦμαί[16]) ϲοι[17]) διδόναι τοὺϲ θηϲαυροὺϲ τοὺϲ[18]) ἐν Μηδίᾳ[19]) (?) τῇ χώρᾳ, καὶ ἐν Ϲούϲοιϲ[20]) καὶ ἐν Βάκτροιϲ[21]), οὓϲ οἱ πατέρεϲ ἡμῶν παρέθεντο[22]) τῇ γῇ· ὑπιϲχνοῦμαι[23]) δέ ϲοι καὶ τὴν Περϲῶν καὶ Μήδων καὶ τῶν[24]) ἄλλων ἐθνῶν χώραϲ κυριεύειν πάντα τὸν χρόνον. ἔρρωϲο.[25])

fol. 233 a

Ταύτηϲ δὲ τῆϲ ἐπιϲτολῆϲ γνοὺϲ Ἀλέξανδροϲ τὴν δύναμιν ϲυνήθροιϲε πᾶν τὸ ϲτρατόπεδον αὐτοῦ καὶ μεγιϲτᾶναϲ καὶ ἐκέλευϲεν ὑπαναγνωϲθῆναι αὐτοῖϲ τὰ γράμματα τὰ Δαρείου. ταύτηϲ δὲ τῆϲ ἐπιϲτολῆϲ ὑπαναγνωϲθείϲηϲ[26]) εἶπεν εἷϲ τῶν ϲτρατηγῶν Παρμένιοϲ ὀνόματι· ἐγὼ βαϲιλεῦ Ἀλέξανδρε, ἐλάμβανον (ἂν) τὰ χρήματα καὶ τὴν χώραν τὴν δεδομένην ϲοι, καὶ ἀπέδωκα Δαρείῳ τὴν μητέρα καὶ τὰ τέκνα καὶ τὴν γυναῖκα αὐτοῦ κοιμηθεὶϲ μετ᾽ αὐτῶν.

---

28) ἀνιμώξαϲ 29) διερχόμενοϲ (vielleicht ϲυνεχόμενοϲ καὶ αὐτὸϲ διερχ.) 30) γενάμενοϲ 31) εἰ 32) τύχει 33) ἤ 34) λάβει 35) κατάγων· **17.** 1) ἄπληϲτωϲ 2) ἐπαρχούϲηϲ 3) ἀπέθανον 4) πολὺν 5) πολὰϲ 6) κηνὰϲ 7) ἐξέφυγον· 8) τί οὖν 9) κατανοήϲω 10) τύχει 11) νεμέϲει· 12) δὲ εἰϲ 13) ἄληϲ (ὅληϲ?) 14) ἐπαρχούϲηϲ 15) ἀπόδωϲ 16) ὑπειϲχνούμε 17) ϲου 18) τῶν 19) μυϲιάδι (im armen. mîna) 20) ϲιϲοῖϲ 21) βάτρειϲ 22) παρέθετο 23) ὑπειϲχνοῦμαι 24) κοῖτων 25) ἔρρωϲον· 26) ὑπαναγνωϲθήϲειϲ

μειδιάcαc δὲ Ἀλέξανδρος εἶπε πρὸς αὐτόν· ἐγὼ μέν, Παρμένιε, πάντα λαμβάνω παρ' αὐτοῦ· ἐθαύμαcα[27]) δὲ ὅτι Δαρεῖος διὰ χρημάτων (τῶν ἐμῶν) ἀξιοῖ λυτρώσασθαι τοὺς ἰδίους, πολλῷ μᾶλλον δὲ (ὅτι) καὶ τὴν χώραν τὴν ἐμὴν ὑπισχνεῖταί[28]) μοι ἀποδοῦναι. ἀγνοεῖ δὲ τοῦτο Δαρεῖος, ὅτι εἰ μὴ νικήσει[29]) με μαχόμενος, ταῦτα πάντα ἐμά εἰσι μετὰ[30]) τῶν ἰδίων αὐτοῦ· πλὴν αἰσχρόν ἐστι καὶ λίαν αἰσχρόν, ἄνδρας τὸν ἄνδρα ἀνδρείως νικήσαντα ὑπὸ γυναικῶν ἀθλίως ἡττηθῆναι. ἡμεῖς οὖν πρὸς ἐκεῖνον τὴν μάχην ὀτρύνωμεν[31]) περὶ τῶν ἡμετέρων· ἐγὼ γὰρ τὸ σύνολον εἰς τὴν Ἀσίαν οὐκ ἂν ἦλθον, εἰ μὴ ὑπελάμβανον αὐτὴν[32]) ἐμὴν εἶναι. εἰ δὲ πρότερος[33]) αὐτῆς ἐκεῖνος ἦρχεν, τοῦτο κερδαινέτω[34]), διότι χώραν ἔχων ἀλλοτρίαν τοσοῦτον χρόνον οὐδὲν ἔπαθε κακόν. καὶ ταῦτα εἰπὼν Ἀλέξανδρος τοῖς πρεσβευταῖς Δαρείου ἐκέλευσεν αὐτοὺς ἀπελθόντας ταῦτα Δαρείῳ ἀπαγγεῖλαι, γράμματα αὐτοῖς μὴ δούς. ἐκέλευσεν οὖν Ἀλέξανδρος τοὺς τραυματισθέντας ἐν τῷ πολέμῳ στρατιώτας θεραπεύεσθαι πάσῃ ἐπιμελείᾳ, τοὺς δὲ τελευτήσαντας κηδείας[35]) τυγχάνοντας[36]) θάπτεσθαι. μείνας (οὖν) ἐκεῖ τὸν χειμῶνα προσέταξεν ἐμπυρίζεσθαι τὰ Ξέρξου βασίλεια ὄντα κάλλιστα κατὰ τὴν χώραν ἐκείνην· μικρὸν δὲ πάλιν μετανοήσας[37]) παύσασθαι αὐτοὺς ἐκέλευσεν. fol. 233 b

Cap. 18.

Ἐθεάσατο δὲ καὶ τοὺς Περσῶν τάφους χρυσῷ πολλῷ κεκοσμημένους· εἶδε[1]) δὲ καὶ τὸν Ναβονασάρου τάφον, τοῦ κεκλημένου Ναβουχοδονόσωρ Ἑλλαδικῇ φωνῇ, καὶ τὰ ἀναθήματα τῶν Ἰουδαίων ἐκεῖ κείμενα καὶ τοὺς κρατῆρας τοὺς χρυσοῦς ὡς ἡρώων εἶναι τὴν θέαν. παραπλήσιον ἐθεάσατο καὶ τὸν Κύρου τάφον· ἦν δὲ πύργος αἴθριος δωδεκάστεγος· ἐν δὲ τῇ ἄνω στέγῃ ἔκειτο (αὐτὸς) ἐν χρυσῇ πυέλῃ, καὶ ὕελος περιεκέχυτο[2]), ὥστε τὸ τρίχωμα[3]) αὐτοῦ φαίνεσθαι, καὶ αὐτὸν[4]) δὲ ὅλον διὰ τοῦ ὑέλου. fol. 234 a

Ἐνταῦθα δὲ ἦσαν Ἕλληνες εἰς τὸν τάφον Ξέρξου λελωβημένοι[5]), οἱ μὲν πόδας, οἱ δὲ ῥῖνας, ἕτεροι δὲ τὰ ὦτα αὐτῶν, δεδεμένοι πέδαις[6]) καὶ ἡλωθέντες[7]), ἄνδρες Ἀθηναῖοι, (οἳ) ἐξεβόησαν τῷ Ἀλεξάνδρῳ ὥστε σῶσαι αὐτούς. ὁ δὲ Ἀλέξανδρος ἰδὼν αὐτοὺς ἐδάκρυσεν· ἦν γὰρ ἡ θεωρία αὐτῶν δεινή. βαρέως οὖν ἤνεγκεν περὶ τοῦτο καὶ προσέταξε λυθῆναι[8]) αὐτοὺς καὶ διδόναι αὐτοῖς[9]) δίδραχμα[10]) χίλια[11]) καὶ ἀποκαταστῆσαι αὐτοὺς εἰς τὴν ἰδίαν[12]) ἑκάστῳ πατρίδα. οἱ δὲ λαβόντες τὸ ἀργύριον ἠξίωσαν Ἀλέξανδρον χώραν αὐτοῖς ἀπομερισθῆναι[13]) (ἐν) τοῖς τόποις ἐκείνοις, εἰς δὲ τὰς πατρίδας αὐτῶν μὴ ἐκπεμφθῆναι· οὕτως διακειμένους[14]) ὄνειδος εἶναι τοῖς οἰκείοις. καὶ ἐκέλευσεν ἀπομερισθῆναι[13]) αὐτοῖς γῆν καὶ

27) ἐθαύμασε 28) ὑπεισχνεῖται 29) νικήσῃ 30) σὺν 31) ὀτρύνομεν 32) ἑαυτὴν 33) πρώτερος 34) κερδενέτω· 35) κηδίας 36) τυγχάνοντα 37) μεταποιήσας 18. 1) ἴδε 2) περὶ ἐκέχειτο· 3) τοίχωμα 4) αὐτὸ 5) λελοβημενοι· 6) παίδες· 7) ἡλωθέντος· 8) λυθοῦναι 9) αὐτοὺς 10) διδρόγμα τὰ (διδράχματα?) 11) χίλλια 12) ἰδείαν 13) ἀπὸμερησθῆναι 14) διακοιμένους

cῖτον καὶ cπέρματα δοθῆναι αὐτοῖc καὶ βόαc ἑκάcτῳ ἓξ καὶ πρόβατα καὶ πάντα ὅcα χρήcιμα[15]) εἰc γεωργίαν καὶ ἕτερον χρῆμα.

fol. 234 b

Cap. 19.

Ὁ δὲ Δαρεῖοc ηὐτρεπίζετο εἰc ἕτερον πόλεμον cυμβαλεῖν Ἀλεξάνδρῳ. γράφει[1]) δὲ Πώρῳ βαcιλεῖ Ἰνδῶν οὕτωc· Βαcιλεὺc Δαρεῖοc βαcιλεῖ Ἰνδῶν Πώρῳ[2]) χαίρειν. ἐπὶ τῇ γενομένῃ[3]) καταcτροφῇ τῷ οἴκῳ μου ἐν ταῖc ἡμέραιc ταύταιc καὶ νῦν δηλῶ[4]) cοι, ἐπειδὴ ἐπιβάc μοι Μακεδόνων[5]) βαcιλεὺc θηρὸc ἀγρίου ψυχὴν[6]) ἔχων οὐ βούλεται τὴν μητέρα μου καὶ τὴν γυναῖκα καὶ τὰ τέκνα ἀποδοῦναί μοι, ἐμοῦ δὲ[7]) ἐπαγγειλαμένου καὶ θηcαυροὺc καὶ ἄλλα τινὰ πλείονα παραcχεῖν αὐτῷ, οὐ πείθεται. ὅθεν οὖν ἐκπορθῆcαι[8]) αὐτὸν ἐφ' οἷc ἔπραξε, cυνίcτημι[9]) αὐτῷ[10]) ἕτερον πόλεμον μέχριc ἂν ἀμύνωμαι αὐτὸν[11]) καὶ τὸ[12]) ἔθνοc[13]) αὐτοῦ. δίκαιον οὖν ἐcτι (καὶ) cὲ ἀγανακτῆcαι ἐφ' οἷc ἔπαθον καὶ ἐξελθεῖν cε ἐπὶ τῇ ἐμῇ ὕβρει, μνηcθέντα [cε] τῶν γονικῶν ἡμῶν δικαίων. cυνάθροιcον οὖν πλεῖcτα ἔθνη ἐπὶ τὰc Καcπιακὰc[14]) πύλαc καὶ τοῖc cυνερχομένοιc ἀνδράcιν χορήγηcον[15]) χρυcίον πολὺ καὶ cῖτον καὶ χορτάcματα. πάντων δέ cοι τὸ[16]) ἥμιcυ τῶν λαφύρων ὧν ἐὰν λάβω (ἐκ) τῶν πολεμίων χαρίcομαι, καὶ τὸν λεγόμενον Βουκέφαλον ἵππον cὺν (fol. 235 a) τοῖc βαcιλικοῖc χωρίοιc μετὰ[17]) τῶν παλλακῶν αὐτοῦ. δεξάμενοc οὖν τὰ γράμματα ἡμῶν ἐν πολλῇ cπουδῇ ἄθροιcον πλήθη[18]) καὶ ἀπόcτειλον ἡμῖν. ἔρρωcο.[19]) ὁ δὲ Ἀλέξανδροc μαθὼν ταῦτα ἀπό τινοc τῶν τοῦ Δαρείου προcφυγόντοc παρ' αὐτὸν[20]) εὐθέωc ἀναλαβὼν ἅπαcαν τὴν δύναμιν αὐτοῦ τὴν πορείαν ἐποιεῖτο ἐπὶ Μηδίαν. ἤκουcε δὲ Δαρεῖον εἶναι ἐν Βατάνοιc ἐπὶ τὰc Καcπιακὰc[14]) πύλαc, καὶ cύντονον[21]) ἐποίει τὸν διωγμὸν καὶ εὐτολμότερον.[22])

Cap. 20.

Ἔγνωcαν οὖν οἱ cατράπαι Δαρείου τὸν Ἀλέξανδρον ἐγγίζειν, Βῆccοc[1]) καὶ Ἀριοβαρζάνηc[2]), καὶ παρατραπέντεc οὗτοι[3]) τὰc φρενοβλαβεῖc γνώμαc ἐβουλεύcαντο Δαρεῖον ἀναιρῆcαι. ἔλεγον γὰρ πρὸc ἀλλήλουc ὅ τε[4]) Βῆccοc καὶ ὁ Ἀριοβαρζάνηc[2]), ὅτι ἐὰν ἀνέλωμεν Δαρεῖον, ληψόμεθα[5]) παρὰ Ἀλεξάνδρου ὡc ἀναιρήcαντεc αὐτοῦ τὸν ἐχθρὸν χρήματα πολλά. αὐτοὶ οὖν κακῶc βουλευcάμενοι ἐπηνέχθηcαν ξιφήρειc[6]) Δαρείῳ. ὡc δὲ εἶδεν τούτουc Δαρεῖοc ὁρμήcανταc αὐτῷ ξιφήρειc[7]), εἶπεν αὐτοῖc· ὦ ἐμοῦ (fol. 235 b) δεcπόται, οἱ πρίν μου δοῦλοι, τί ὑμᾶc ἠδίκηcα, ἵνα ὑμεῖc ἀνάρητέ[8])

---

15) χρύcιμα **19.** 1) γράφη 2) πόρῳ 3) γεναμένη 4) δείλῶ 5) μακέδων 6) τύχην 7) τὶ 8) ἐκ πορθεῖcαι 9) cυνίc[illegible] μοι 10) αὐτὸν 11) αὐτῷ 12) τῷ 13) ἔθνει 14) καπιακὰc 15) χωρήγηcον (wahrscheinlich χορηγήcω zu lesen) 16) τὰ 17) καὶ 18) πλήθει 19) ἔρρωcον· 20) αὐτῶ· 21) cύντομον 22) εὐτολμώτερον· **20.** 1) βῖccoc· so (ι statt η) auch im im folgenden stets. 2) ἀρειοβαρζάνηc· 3) αὐτοῦ (αὐτοί?) 4) ὅτε 5) ληψώμεθα 6) ξιφύρειc 7) ξιφύρει 8) ἀναρεῖτε (ἀναιρῆτε?)

με βαρβάρῳ[9]) τολμήματι; μὴ πλέον ὑμεῖς Μακεδόνων τι δράσετε[10]); ἐάσατέ με οὕτως[11]) ἐπὶ τὰ μέλεθρα ῥιφέντα ἀναστενάζειν τὴν ἀνωμαλῆ[12]) τύχην. ἐὰν γὰρ νῦν ἐλθὼν Ἀλέξανδρος Μακεδόνων ὁ βασιλεὺς εὑρήσει με σφαγέντα, βασιλεὺς βασιλέως ἐκδικήσει τὸ αἷμα. οἱ δὲ μηδαμῶς πεισθέντες ταῖς ἱκεσίαις Δαρείου φόνοις[13]) αὐτὸν ἀμύνονται. ὁ δὲ Δαρεῖος ταῖς δυσὶ χερσὶ τὸν μὲν Βῆσσον τῇ εὐωνύμῳ γόνυ εἰς τὸν βουβῶνα[14]) αὐτοῦ ὑποκλίνας ἐκράτει, τὸν δὲ Ἀριοβαρζάνην[15]) τῇ δεξιᾷ χειρὶ ἐπισχὼν μόνος ἐκράτει ὥστε μὴ ἐπιφέρειν αὐτῷ τὸ ξίφος· † λόγχαι δὲ αὐτῶν αἱ πληγαὶ ἐτύγχανον· † τῶν δὲ δυσσεβῶν[16]) μηκέτι ἰσχυόντων αὐτὸν[17]) ἀναιρῆσαι[18]), ἐπάλαιον μετ' αὐτοῦ· ἦν γὰρ σθεναρός.

Οἱ οὖν Μακεδόνες εὑρόντες τὸν Στράγγαν ποταμὸν παγέντα διεπέρασαν, καὶ εἰσῆλθεν ὁ Ἀλέξανδρος εἰς τὰ βασίλεια Δαρείου. οἱ οὖν δυσσεβεῖς μαθόντες τὴν εἴσοδον Ἀλεξάνδρου ἔφυγον καταλείψαντες Δαρεῖον ἡμίπνουν.[19]) καὶ ἐλθὼν ὁ Ἀλέξανδρος ἐπὶ τὸν βασιλέα Δαρεῖον καὶ εὑρὼν αὐτὸν σφαγέντα ὑπὸ Ἀριοβαρζάνου καὶ Βήσσου (ἔτι) ἡμίπνουν, ἐκκεχυμένον ξίφει τούτου τὸ αἷμα, ἀνοιμώξας αὐτῷ θρῆνον ἄξιον λύπης δάκρυα ἐξέχεεν ἐπ' αὐτῷ, fol. 236ᵃ καὶ τῇ χλαμύδι[20]) αὐτοῦ ἐσκέπασε τὸ σῶμα Δαρείου. τὰς χεῖρας δὲ ἐπιθεὶς ἐπὶ τὸ Δαρείου στῆθος ἐλέους γέμοντας λόγους ἐπ' αὐτῷ ἔλεγεν· ἀνάστα, βασιλεῦ Δαρεῖε, καὶ τῆς σῆς γῆς βασίλευε καὶ τῶν σεαυτοῦ δεσπότης γενοῦ· δέξαι σου τὸ διάδημα τοῦ Περσικοῦ πλήθους ἀνάσσων, ἔχε σου τὸ μέγεθος τῆς τυραννίδος· ὄμνυμί σοι τὴν ἄνω πρόνοιαν, ὡς ἀληθῶς καὶ οὐ πεπλασμένως[21]) φράζω σοι. τίνες δέ εἰσιν οἱ πλήξαντές σε; μήνυσόν μοι[22]) αὐτούς, ἵνα σε νῦν ἀναπαύσω.

Καὶ ταῦτα εἰπόντος τοῦ Ἀλεξάνδρου στενάξας Δαρεῖος καὶ τὰς χεῖρας ἐκτείνας ἐπεσπάσατο τὸν Ἀλέξανδρον καὶ περιπλακεὶς αὐτῷ εἶπεν αὐτῷ· Ἀλέξανδρε βασιλεῦ, μήποτε ἐπαρθῇς[23]) τῇ τυραννικῇ δόξῃ· ὁπόταν (δὲ) ἔργον ἰσόθεον κατορθώσῃς, καὶ χερσὶ ταῖς σαῖς οὐρανὸν θέλῃς[24]) ψαῦσαι[25]), σκόπει τὸ μέλλον· ἡ τύχη γὰρ οὐκ οἶδε βασιλέα οὔτε μὴν πλῆθος [ἔχοντα], ἀκρίτῳ δὲ γνώμῃ πανταχόθεν ῥέμβεται.[26]) ὁρᾷς τίς ἤμην καὶ τίς γέγονα. ἀποθνήσκοντός μου, Ἀλέξανδρε, ταῖς σαῖς χερσὶν θάψον με· κηδεύσατέ fol. 236ᵇ με Μακεδόνες καὶ Πέρσαι· μία γενέσθω[27]) συγγένεια Δαρείῳ καὶ Ἀλεξάνδρῳ. τὴν δὲ ἐμὲ τεκοῦσαν ὡς σὲ τεκοῦσαν ἀνατίθημί σοι, καὶ τὴν γυναῖκά μου ὡς ἐμὲ οἴκτειρον, τὴν δὲ θυγατέρα μου Ῥωξάνην εἰς γυναῖκα ἐκδίδωμί σοι, † ἵνα ἐπὶ τοῖς δρωμένοις (ὑστέροις?) καιροῖς ἐπὶ μνήμης ἔσεσθαι πάντων· (λήψῃ τέκνα C) καὶ ἐπὶ τέκνοις καυχήσεσθε ὡς ποτὲ καὶ ἡμεῖς· σὺ μὲν ἐπὶ φιλίππῳ· ῥωξάνῃ

---

9) βαρβάρων 10) δράσητε· 11) οὗτος 12) ἀνωμαλὴν 13) φώνοις 14) βουβὸν 15) ἀρειοβαρζάνην 16) δισσεβῶν 17) αὐτῶν 18) ἀναιρεῖσε· 19) cod.: ἡμίπνουν ἐκκεχυμένον ξ. τ. τὸ αἷμα· ἀνοιμ. κτλ. unten aber auf der seite steht von gleichzeitiger hand: ἐλθὼν ὁ ἀλ. ἐπὶ τ. β. δάρειον καὶ εὑρὼν αὐτὸν σφαγέντα ἐπὶ ἀρειοβαρζάνη καὶ βῖσσον· ἐθρήνει· 20) χλαμῆδι 21) πεπλασμένος 22) μήνησόν μου 23) ἁρπασθεὶς 24) θέλεις 25) φθᾶσαι· 26) ῥεμπεται 27) γενίσθω

δὲ ἐπὶ δαρείῳ· [καὶ ἡμῖν] μνήμας τελεῖτε, χρόνοις συνγηρόντες (leg. συγγηρῶντες)· † ταῦτα εἰπὼν Δαρεῖος καὶ τῷ τραχήλῳ ἐπικρεμασθεὶς Ἀλεξάνδρου ἐξέπνευσεν.

Cap. 21.

Ὁ δὲ Ἀλέξανδρος μέγα ὀλολύξας καὶ συμπαθῶς Δαρεῖον κλαύσας ἐκέλευσεν ταφῆναι αὐτὸν Περσικῷ νόμῳ. προστάσσει οὖν πρῶτον τοὺς Πέρσας προάγειν, ἔπειτα τοὺς Μακεδόνας πάντας ἐνόπλους. ὁ δὲ Ἀλέξανδρος ὑποθεὶς[1]) τὸν ὦμον[2]) αὐτοῦ τῇ κλίνῃ Δαρείου ἐβάσταζεν μετὰ τοὺς λοιποὺς σατράπας (sic). ἔκλαιον[3]) δὲ πάντες καὶ ἐθρήνουν, οὐ τοσοῦτον ἐπὶ Δαρείῳ ὅσον ἐπὶ Ἀλεξάνδρῳ, ὁρῶντες αὐτὸν βαστάζοντα τὴν κλίνην. κηδεύσας fol. 237a οὖν κατὰ τοὺς τῶν Περσῶν νόμους ἀπέλυσε τοὺς ὄχλους· εὐθέως δὲ κατὰ πόλιν δόγμα ἐξέθετο περιέχον[4]) οὕτως· Βασιλεὺς Ἀλέξανδρος, υἱὸς Φιλίππου βασιλέως καὶ βασιλίσσης Ὀλυμπιάδος, τοῖς κατὰ τὴν Περσίδα ἔν τε πόλεσι καὶ χώραις τάδε κελεύω.[5]) οὐ βούλομαι γὰρ τὰς τοσαύτας μυριάδας τῶν ἀνθρώπων κακῶς[6]) ἀπολέσθαι[7])· ἡ γὰρ εὐμένεια*) ποιεῖ με κατὰ Περσῶν νικηφόρον· εὐχαριστῶ οὖν τῇ ἄνω προνοίᾳ. γινώσκετε οὖν ὅτι σατράπας ὑμῖν καταστῆσαι βούλομαι, οἷς ὀφείλετε ὑπακούειν ὡς τῷ Δαρείῳ.**) ἕτερον δὲ βασιλέα μὴ γινώσκετε εἰ μὴ[8]) Ἀλέξανδρον. χρῆσθε[9]) οὖν τοῖς ἰδίοις ἤθεσιν (sic) καὶ ταῖς[10]) συνήθεσιν[11]) ἑορταῖς[12]) καὶ βουθυσίαις[13]) καὶ πανηγύρεσι, καθὼς καὶ ἐπὶ Δαρείου.[14]) ἕκαστος δὲ ὑμῶν ἐν τῇ ἰδίᾳ πόλει βιώτω[15])· πᾶς[16]) δέ τις καταλείψας τὴν ἰδίαν πόλιν ἢ χώραν καὶ ἐν ἀλλοδαπῇ κατοικίσας τοῖς κυσὶ βρῶμα γενήσεται. τῶν δὲ ὑπαρχόντων ὑμῶν ἕκαστος κυριευέτω πλὴν χρυσίου καὶ ἀργυρίου· τὸν γὰρ χρυσὸν καὶ ἄργυρον κελεύω ἀνάγεσθαι ἐν ταῖς ἡμετέραις πόλεσι[17]) καὶ χώραις[18])· νομίσματα[19]) δὲ ὅσα[20]) ἔχετε συγχωροῦμεν[21]) ὑμῖν ἕκαστον τῶν ἰδίων χρᾶσθαι. fol. 237b πᾶν δὲ πολεμικὸν ὅπλον κελεύω ἀναφέρειν εἰς τὰς ἐμὰς ὁπλοθήκας. οἱ δὲ σατράπαι μενέτωσαν[22]) τῇ αὐτῶν τάξει· ἔθνος γὰρ ὑμῖν οὐκέτι ἐπιβήσεται εἰ μὴ ἐμπορίας χάριν. βούλομαι δὲ τὰς χώρας ὑμῶν ἐν εὐθηνίᾳ[23]) καταστῆσαι καὶ τὰς ὁδοὺς εἰρηνικάς, ἐμπορεύεσθαι καὶ πραγματεύεσθαι μετὰ πάσης εἰρήνης, ὅπως οἱ ἀπὸ τῆς Ἑλλάδος ἐμπορεύωνται[24]) πρὸς ὑμᾶς καὶ ὑμεῖς πρὸς αὐτούς. ἀπὸ γὰρ τοῦ Εὐφράτου[25]) καὶ τῆς διαβάσεως ἐπὶ τὸν Τίγριν[26]) ποταμὸν ἕως Μηδίας Βαβυλῶνος ὁδοποιήσω καὶ σημεῖα ποιήσω, ὅπου ἡ ὁδὸς φέρει. Δαρεῖον δὲ οὐκ ἀνεῖλον ἐγώ· τίνες δέ εἰσιν οἱ τοῦτον ἀναιρήσαντες ἀγνοῶ· οἷς ὀφείλω[27]) τιμὰς μετά-

---

21. 1) ἐπιθεὶς 2) νόμον 3) ἔκκλαιον 4) περιέχων 5) κελεύομε 6) κακῶν 7) ἀπολέσαι· *) vielleicht τῶν θεῶν ausgefallen; oder εὐδαιμονία zu lesen? **) wahrscheinlich ἐπὶ Δαρείου. 8) εἰμὶ 9) χρῆσθαι 10) τὰς 11) συνήθεις 12) ἑορτὰς· 13) βοηθυτίαις 14) δαρείω 15) βιῶτο· 16) ἐὰν 17) πόλαις 18) χώρεσι· 19) νομᾶς 20) ὅσας 21) συγχοροῦμεν 22) μενέσθωσαν 23) εὐθυνία 24) ἐμπορεύονται 25) ἐφράτου 26) τίγρην 27) ὠφείλω

λας [τιμῆcαι] καὶ χώρας αὐτοῖc πλείcτας ἀποδοῦναι, ὡc[28]) τὸν ἐχθρὸν ἡμῶν ἀνελόντεc (sic). καὶ ταῦτα εἰπὼν Ἀλέξανδρος, ἐταράχθηcαν[29]) οἱ Πέρcαι, ὡc μέλλοντος Ἀλεξάνδρου τὴν Περcίδα καταcκάπτειν. γνοὺc δὲ Ἀλέξανδρος τὴν λύπην τοῦ ὄχλου λέγει αὐτοῖc· τί ὑπονοεῖτε, Πέρcαι, ὅτι τοὺc ἀνελόντας Δαρεῖον ἐγὼ ζητῶ; εἰ γὰρ ἔζη Δαρεῖοc, ἐπεcτράτευcεν[30]) ἄν μοι πόλεμον, νῦν δὲ πᾶc πόλεμοc πέπαυται. εἰ τοίνυν Μακεδών ἐcτιν ἢ Πέρcης ὁ αὐτὸν ἀνελών, προcερχέcθω μοι θαρρῶν καὶ λαμβανέτω ὃ ἐὰν αἰτήcηται[31]) παρ' ἐμοῦ. ὄμνυμι[32]) γὰρ τὴν ἄνω πρόνοιαν καὶ τῆc μητρόc μου Ὀλυμπιάδοc τὴν cωτηρίαν, ὅτι ἐπιcήμουc αὐτοὺc καὶ περιφανεῖc πᾶcιν ἀνθρώποιc ποιήcω. καὶ οὕτωc ὀμόcαντοc[33]) Ἀλεξάνδρου τὸ μὲν πλῆθοc ἐδάκρυcεν· Βῆccoc δὲ καὶ Ἀριοβαρζάνης[34]) προcῆλθον[35]) Ἀλεξάνδρῳ, προcδοκῶντεc[36]) ὡc[37]) μεγάλα δῶρα λήψονται παρ' αὐτοῦ, καὶ λέγουcιν· δέcποτα, ἡμεῖc ἐcμεν οἱ τὸν Δαρεῖον ἀνελόντεc. εὐθὺc δὲ Ἀλέξανδροc ἐκέλευcεν τούτουc cυλληφθένταc ἐπὶ τὸν τάφον ἀναcταυρωθῆναι Δαρείου. τῶν δὲ βοώντων καὶ λεγόντων· οὐκ ὤμοcαc[38]) ὅτι τοὺc ἀνελόνταc Δαρεῖον ἐπιcήμουc αὐτοὺc καὶ περιφανεῖc ποιήcω; καὶ πῶc κελεύειc νῦν ἡμᾶc cταυρωθῆναι παραβὰc τοὺc ὅρκουc; λέγει αὐτοῖc Ἀλέξανδροc· οὐχ ὑμῶν ἕνεκα, ὦ κάκιcτοι, ἀπολογοῦμαι[39]), ἀλλ' ἕνεκα τοῦ πλήθουc τῶν cτρατευμάτων· ἄλλωc γὰρ οὐκ ἦν εὑρεῖν ὑμᾶc οὕτωc ῥᾳδίωc καὶ ἐμφανεῖc ποιῆcαι.*) οἱ γὰρ τὸν ἑαυτῶν δεcπότην ἀνελόντεc πῶc ἐμὲ φείcονται[40]); εἰc ὑμᾶc οὖν, ὦ κάκιcτοι, οὐκ ἐπιώρκηcα[41])· ὤμοcα γὰρ περιφανεῖc καὶ ἐπιcήμουc ὑμᾶc ποιῆcαι πᾶcιν, τοῦτ' ἔcτιν ἀναcταυρωθῆναι, ἵνα πάντεc ὑμᾶc θεωρήcωcιν.[42]) καὶ οὕτωc εἰπόντοc ἐπευφήμηcαν[43]) αὐτὸν πάντεc, καὶ οἱ μὲν κάκιcτοι φονεῖc[44]) ἀναcταυροῦνται ἐπὶ τῷ τάφῳ Δαρείου.

fol. 238ᵃ
fol. 238ᵇ

Cap. 22.

Ὁ δὲ Ἀλέξανδροc ἀποκαταcτήcαc ἐν εἰρήνῃ πᾶcαν τὴν χώραν λέγει αὐτοῖc· τίνα βούλεcθε cατράπην εἶναι τῆc πόλεωc ὑμῶν; οἱ δὲ εἶπον· Λίτην τὸν τοῦ Δαρείου ἀδελφόν. ὁ δὲ προcέταξεν τοῦτον γενέcθαι. ἦν δὲ καταλιπὼν τὴν μητέρα Δαρείου καὶ τὴν γυναῖκα καὶ τὴν θυγατέρα[1]) αὐτοῦ ἐν τῇ * πόλει ἀπεχούcῃ[2]) διάcτημα ἡμερῶν δύο· γράφει οὖν πρὸc αὐτὰc οὕτωc· Βαcιλεὺc Ἀλέξανδροc Cτατείρᾳ[3]) καὶ Ῥοδογούνῃ[4]) καὶ Ῥωξάνῃ[5]) τῇ[6]) ἐμῇ[7]) γυναικὶ[8]) χαίρειν. ἀντιταξάμενοι Δαρείῳ οὐκ ἠμυνάμεθα[9]), μᾶλλον δὲ τὸ ἐναντίον ηὐχόμην ἐγὼ ζῶντα αὐτὸν ὑπὸ

---

28) δc 29) ἐταράχθειcαν 30) ὑπεcτράτευcεν 31) αἰτήcειται 32) ὤμνημοι 33) ὀμώcαντοc 34) ἀρειοβαρζάνηc, 35) προcελθὼν 36) προcδοκόντεc 37) ὡc vor προcδοκῶντεc 38) ὤμωcαc 39) ἀπολογοῦ με· *) wol einige worte ausgefallen. 40) φήcονται· 41) ἐπιόρκηcα· 42) θεωρίcωcιν· 43) ἐπεφήμηcαν 44) φωνεῖc **22.** 1) θυγατέραν *) vielleicht τινι 2) ἀπέχουcαν 3) cτατῆρα· 4) ῥοδῶ· 5) ῥωξάνην 6) τὴν 7) ἐμὴν 8) γυναῖκα 9) ἡμινάμεθα·

τὰ ἐμὰ βαςίλεια (sic) κατέχειν· ἐςχάτως[10]) δὲ τοῦτον κατέλαβον ἔχοντα, ὃν ἐλεήςας τῇ ἐμῇ χλαμύδι περιέςτειλα. ἐπυθόμην[11]) δὲ fol. 239ᵃ παρ' αὐτοῦ μαθεῖν τίς ἐςτιν ὁ πλήξας· ἀλλ' ὅμως οὐδέν μοι εἶπεν πλὴν τοῦτο· παρατίθημί coι τὴν ἐμὲ τεκοῦςαν καὶ τὴν ἐμὴν ςύμβιον, ἐξαιρέτως δὲ Ῥωξάνην τὴν ἐμὴν θυγατέρα καὶ ςύμβιόν cου· περὶ δὲ τῶν ςυμβάντων αὐτῷ οὐκ ἔφθαςέ[12]) μοι ὁμιλῆςαι. τοὺς μὲν οὖν αἰτίους τῆς ἀπωλείας[13]) αὐτοῦ ἠμυνάμην[14]) ἀξιοπρεπῶς. προςέταξεν δὲ ἡμῖν τοῦτον κηδεῦςαι παρὰ τοὺς τῶν πατέρων αὐτοῦ τάφους· ὃ καὶ γέγονεν· οἶμαι δὲ καὶ ὑμᾶς ταῦτα πάντα ἀκηκοέναι. παύςαςθε οὖν τῆς λύπης αὐτοῦ· ἐγὼ γὰρ ἀποκαταςτήςω ὑμᾶς εἰς τὰ ὑμέτερα βαςίλεια. πρὸς τὸ παρὸν δὲ διατρίψατε ἐν τῷ τόπῳ ἐν ᾧ ἐςτε[15]), μέχρις ἂν καὶ τὰ ἐνταῦθα καλῶς διαθῶμεν· κατὰ δὲ τὴν πρόςταξιν Δαρείου Ῥωξάνην τὴν ἐμὴν γυναῖκα ςύνθρονόν μοι εἶναι βούλομαι, εἰ καὶ ὑμῖν τοῦτο ἀρεςτόν ἐςτι· προςκυνεῖςθαι[16]) δὲ ἀπὸ τοῦ νῦν ὡς Ἀλεξάνδρου γυναῖκα βούλομαι καὶ κελεύομαι. ἔρρωςθε.[17])

Δεξάμεναι δὲ τὰ γράμματα Ἀλεξάνδρου ἀντέγραψαν αὐτῷ Ῥοδογούνη[18]) καὶ Cτάτειρα[19]) ταῦτα· Ἀλεξάνδρῳ βαςιλεῖ χαίρειν. fol. 239ᵇ ηὐξάμεθα οὖν τοῖς κλίναςι τοῦ Δαρείου ὄνομα καὶ τὸ τῶν Περςῶν καύχημα, cὲ[20]) αἰώνιον βαςιλέα τῆς οἰκουμένης ἀναδεῖξαι[21]), λογιςμῷ καὶ φρονήςει καὶ δυνάμει ἀνάπλεον. οἴδαμεν δὲ ὑπὸ τὰς ςὰς ἀγκάλας οὖςαι, ὅτι[22]) ὡς αἰχμαλώτοις[23]) οὐκ ἐχρήςω ἡμῖν[24])· ἐπευχόμεθα οὖν τῇ ἄνω προνοίᾳ, καὶ ἔτη κάλλιςτα παραςχεῖν coι τοῦ δεςπόζειν χρόνοις ἀναριθμήτοις. ἐλέγχει δέ coι τὰ ἔργα, ὅτι ἐξ ὑπερεχούςης φυλῆς γεγενημένος ὑπάρχεις.[25]) νῦν δὲ ἡμεῖς οὐκέτι[26]) ἐςμὲν ὡς αἰχμάλωτοι[27])· καὶ οἴδαμεν Ἀλέξανδρον νέον Δαρεῖον γεγονέναι[28]) ἡμῖν. Ἀλέξανδρον προςκυνοῦμεν τὸν μὴ καταιςχύνοντα ἡμᾶς. ἐγράψαμεν δὲ πανταχοῦ· τὸ τῶν Περςῶν ἔθνος, ἰδοῦ νῦν Δαρεῖος τελευτήςας εὗρεν Ἀλέξανδρον μέγιςτον βαςιλέα· ἡ γὰρ τύχη Ῥωξάνην ἄγει πρὸς γάμον Ἀλεξάνδρου, (ὃς) βαςιλεὺς πάςης τῆς οἰκουμένης. πάντες οὖν προςάγετε Ἀλεξάνδρῳ εὐχαριςτίας[29]) ἀξίας[30]), ὅτι τὸ τῶν Περςῶν καύχημα μειζόνως νῦν ὑψώθη. ἀγάλλεςθε[31]) οὖν ςὺν ἡμῖν μέγιςτον βαςιλέα Ἀλέξανδρον ἀναγορεύςαντες. καὶ ταῦτα μὲν πρὸς τοὺς Πέρςας ἐδηλώςαμεν.[32]) ἔρρωςο.

fol. 240ᵃ Ὁ δὲ Ἀλέξανδρος δεξάμενος τὰ γράμματα αὐτῶν ἀντέγραψεν αὐταῖς[33]) οὕτως· Ἐπαινῶ ὑμῶν τὸ φρόνημα· ἀγωνίςαςθαι[34]) δὲ βούλομαι ἄξια τῆς ἀγάπης ὑμῶν, ἐπεὶ κἀγὼ ἄνθρωπος φθαρτός εἰμι. ἔρρωςθε.[35])

Ἐν ἑτέρῳ δὲ ἔγραψεν καὶ Ῥωξάνῃ[36]) τὰ δόξαντα αὐτῷ· γρά-

---

10) ἔςχατον 11) ἐπειθώμην 12) ἔφθαςαί 13) ἀπολείας 14) ἠμινάμην 15) ἐςταί· 16) προςκυνήςθω 17) ἔρρωςθαι:· 18) ῥοδῶ 19) ςτατῆρα 20) ὅτι cὲ 21) ἀνέδειξεν· 22) ὅτι hinter οἴδαμεν δὲ· 23) αἰχμάλωτας 24) ἡμᾶς· 25) ὑπάρχων· 26) οἰκέται 27) αἰχμάλωται· 28) γεγοναίνε 29) εὐχαριςτείας 30) ἀξίους· 31) ἀγάλλεςθαι 32) δηλώςαντες· 33) αὐτοῖς. 34) ἀγωνήςαςθαι 35) ἔρρωςθαι:· 36) ῥωξάνη

φει[37]) δὲ καὶ Ὀλυμπιάδι τῇ μητρὶ αὐτοῦ οὕτως· Ἀλέξανδρος βασιλεὺς τῇ γλυκυτάτῃ μου μητρὶ χαίρειν. ἔγραψά σοι τοῦ ἀποστεῖλαί μοι τὸν γυναικεῖον κόσμον καὶ τὸν ἱματισμὸν [τῆς μητρὸς Δαρείου καὶ τῆς αὐτοῦ γυναικὸς καὶ τὸν κόσμον τὸν βασιλικὸν] ὑπὲρ Ῥωξάνης τῆς θυγατρὸς Δαρείου καὶ ἐμῆς συζύγου. δεξαμένη οὖν ἡ μήτηρ αὐτοῦ τὰ γράμματα ἀπέστειλεν αὐτῷ[38]) πᾶσαν τὴν βασιλικὴν αὐτῆς ἐσθῆτα καὶ πάντα κόσμον ἐκ χρυσοῦ καὶ λίθων τιμίων κατεσκευασμένον.[39]) δεξάμενος δὲ Ἀλέξανδρος ταῦτα ἐν ἑτοίμῳ πεποίηκεν τοὺς γάμους ἐν τοῖς βασιλείοις Δαρείου· καὶ τίς ἱκανῶς[40]) διηγήσεται τὴν ἐκεῖ τότε γενομένην[41]) χαράν;

Cap. 23.

Μετὰ δὲ ταῦτα γράφει[1]) Ἀλέξανδρος πρὸς τὴν μητέρα αὐτοῦ οὕτως· Βασιλεὺς Ἀλέξανδρος τῇ ἐμῇ περιποθήτῳ μητρὶ καὶ Ἀριστοτέλει[2]) τῷ τιμιωτάτῳ μου καθηγητῇ χαίρειν. ἀναγκαῖον ἡγησάμην γράψαι ὑμῖν περὶ τῆς γενομένης[3]) μοι πρὸς Δαρεῖον μάχης. fol. 240b ἀκούσας γὰρ ὄντα περὶ τὸν Ἰσσιακὸν[4]) κόλπον μετὰ πλήθους στρατοπέδων καὶ βασιλέων ἑτέρων συλλαβὼν αἶγας πλείστας καὶ συνδήσας λαμπάδας ἐν τοῖς κέρασιν αὐτῶν ἐξῆλθον καὶ ἐβάδιζον νυκτός. οἱ δὲ ἰδόντες τὰς λαμπάδας μακρόθεν ὑπέλαβον εἶναι στρατὸν ἀναρίθμητον, ὅθεν καὶ εἰς δειλίαν τραπέντες ἡττήθησαν. καὶ οὕτως τὴν κατ' αὐτῶν νίκην ἐποιησάμην, ἐν ᾧ τόπῳ ἔκτισα[5]) [τὴν]*) πόλιν, Αἰγὰς αὐτὴν προσονομάσας· ἑτέραν δὲ πόλιν ἔκτισα[5]) ἐν τῷ Ἰσσιακῷ[6]) κόλπῳ, Ἀλεξάνδρειαν αὐτὴν ὀνομάσας. καταλειφθεὶς δὲ Δαρεῖος συνελήφθη καὶ ἐτραυματίσθη παρὰ τῶν αὐτοῦ σατραπῶν. ἐγὼ δὲ λίαν ἐλυπήθην περὶ αὐτοῦ· νικήσας γὰρ αὐτὸν οὐκ ἐβουλόμην φονεῦσαι, ἀλλ' ἔχειν αὐτὸν ὑπὸ τὰ ἐμὰ σκῆπτρα. ἔμπνουν δὲ τοῦτον καταλαβών, περιελὼν [δὲ] τὴν περικειμένην μοι χλαμύδα τοῦτον ἐσκέπασα· εἶτα ὑπονοήσας τὸ τῆς ἀδήλου τύχης ἐπὶ τὸ τοῦ Δαρείου ὑπόδειγμα τοῦτον ἐθρήνησα. κηδεύσας οὖν βασιλικῶς ἐκέλευσα ἀποτμηθῆναι ῥῖνας καὶ ὠτία τῶν φυλασσόντων αὐτοῦ τὸν τάφον, τῇ κατὰ τὴν χώραν συνηθείᾳ[7]) ἐξακολουθῶν. fol. 241a τοὺς δὲ ἀνελόντας Δαρεῖον ἐκέλευσα ἀνασταυρωθῆναι ἐν τῷ τάφῳ Δαρείου. ἐκεῖθεν δὲ ἐξελθὼν κατεκράτησα Ἀρειοβαρζὰν καὶ Μαναζακοῦ βασιλείαν· Μηδίαν τε καὶ Ἀρμενίαν † ἐβέσίαν † καὶ πᾶσαν τὴν Περσικὴν χώραν, ἧς[8]) ἐβασίλευεν Δαρεῖος, ὑπέταξα.

Cap. 32.*)

Ἐκεῖθεν οὖν παραλαβὼν ὁδηγοὺς ἐβουλήθην εἰσελθεῖν εἰς τὰ ἐνδότερα μέρη τῆς ἐρήμου, καὶ οὐ συνεβούλευόν[1]) μοι ἀπελθεῖν

---

37) ἐγράφη 38) αὐτὸν 39) κατεσκευασμένων· 40) ἱκονὸς (vielleicht ἱκανὸς διηγήσασθαι) 41) γεναμένην **23.** 1) Γράφη 2) ἀριστοτέλη 3) γεναμένης 4) ἠσιακὸν 5) ἔκτησα *) τινὰ? 6) νησιακῶ 7) συνήθει (vielleicht τὰ κατὰ τ. χ. συνήθη) 8) οἷς **32.** cap. 23 extr. bis 31 fehlen wie in B so auch in L. 1) οὐκ ἐσυνεβούλευόν

ἐκεῖσε διὰ τῶν θηρίων τὸ πλῆθος τῶν ἐνοικούντων τοῖς τόποις ἐκείνοις. ἀλλ' ὅμως μὴ προσσχὼν[2]) τοῖς λόγοις αὐτῶν ἠρξάμην τῆς ὁδοῦ. ἤλθομεν οὖν εἴς τινα τόπον φαραγγώδη, ᾗ[3]) ἦν ὁδὸς λίαν στενὴ καὶ φαραγγώδης, ἣν καὶ ὡδεύσαμεν[4]) ἡμέρας ὀκτώ. εἴδομεν[5]) (δὲ) ἐν τοῖς τόποις ἐκείνοις θηρία ἀλλογενῆ, οἷα οὐκ οἴδαμεν πώποτε.[6]) διελθόντες δὲ τὸν τόπον ἐκεῖνον ἤλθομεν εἰς ἕτερον θρηνωδέστερον τόπον· εὕραμεν δὲ ἐκεῖ πολλὴν ὕλην δένδρων καλουμένων ἀναφάνδα[7]), καρπὸν ἔχοντα ξένον καὶ παρηλ- fol. 241b λαγμένον· ἦσαν γὰρ μῆλα παμμεγέθη[8]), οἷον πέπονες[9]) μέγιστοι.[10]) ἦσαν δὲ καὶ ἄνθρωποι ἐν τῇ ὕλῃ ἐκείνῃ πίθηκοι[11]) λεγόμενοι, ἔχοντες[12]) ὕψει πήχεις εἴκοσι τέσσαρας, μακροὺς τραχήλους ἔχοντες ὡς ἕνα πῆχυν καὶ ἥμισυ, ὁμοίως καὶ πόδας μακροὺς ἔχοντες[13]), οἱ[14]) δὲ ἀγκῶνες[15]) αὐτῶν πρίοσιν[16]) ἦσαν παρεμφερεῖς καὶ αἱ χεῖρες. ἰδόντες[17]) δὲ ἡμᾶς ὥρμησαν[18]) ἐπὶ τὸ στρατόπεδον. ἐγὼ δὲ ἰδὼν ταῦτα ἐξέστην[19]) τῇ διανοίᾳ· ἐκέλευσα οὖν συλληφθῆναι ἕνα ἐξ αὐτῶν. ὁρμησάντων δὲ ἡμῶν πρὸς αὐτοὺς μετὰ φωνῶν καὶ σαλπίγγων ἔφυγον· ἐφονεύσαμεν δὲ ἐξ αὐτῶν τριάκοντα δύο· αὐτοὶ δὲ ἀνεῖλον[20]) ἐξ ἡμῶν στρατιώτας ρ̄. ἐμείναμεν οὖν ἐκεῖ τρώγοντες τοὺς καρποὺς τῶν δένδρων.

Cap. 33.

Κἀκεῖθεν ἀπάραντες ἤλθομεν εἴς τινα χλοερὰν χώραν, ἐν ᾗ[1]) ἦσαν ἄνθρωποι ἄγριοι γίγασιν ὅμοιοι, στρογγύλοι, πυρρὰς[2]) ὄψεις ἔχοντες, ὡς λέοντες φαινόμενοι. ἦσαν δὲ καὶ ἕτεροι μετ' αὐτῶν λεγόμενοι Ὀχλῖται[3]), μὴ ἔχοντες τρίχας τὸ σύνολον, τὸ μῆκος[4]) ἔχοντες πήχεων[5]) τεσσάρων καὶ πλάτος ὡσεὶ λόγχη. καὶ ἰδόντες ἔδραμον πρὸς ἡμᾶς· ἦσαν δὲ περιεζωσμένοι δέρματα λεόντων, fol. 242a ἰσχυροὶ λίαν καὶ ἑτοιμότατοι πολεμεῖν ἄνευ ὅπλων· ἡμεῖς δὲ ἐτύπτομεν αὐτούς, αὐτοὶ δὲ ξύλοις ἔτυπτον ἡμᾶς, ὡς καὶ πολλοὺς ἀνεῖλον ἐξ ἡμῶν. ἐγὼ δὲ φοβηθεὶς μήπως τροπώσωνται[6]) ἡμᾶς ἐκέλευσα πυρὰν ἅψαι ἐν τῇ ὕλῃ· οἱ δὲ ἰδόντες τὸ πῦρ ἔφυγον οἱ ἀκμαιότατοι ἐκεῖνοι ἄνδρες· ἀνεῖλον[7]) δὲ ἐξ ἡμῶν στρατιώτας ἑκατὸν ὀγδοήκοντα.

Τῇ δὲ ἐπιούσῃ ἡμέρᾳ ἠβουλήθην ἀπελθεῖν εἰς τὰ σπήλαια[8]) αὐτῶν καὶ εὕρομεν θηρία προσδεδεμένα ταῖς θύραις αὐτῶν ὡς λέοντες· ἦσαν δὲ τριόφθαλμοι. εἴδομεν[9]) δὲ ψύλλους ἐκεῖ ὡς τοὺς παρ' ἡμῶν βατράχους πηδῶντας.[10]) ἐκεῖθεν δὲ ἀναχωρήσαντες ἤλθομεν εἴς τινα τόπον, ἐξ οὗ ἐξήρχετο πηγὴ πλουσιωτάτη[11])· καὶ ἐκέλευσα ἐκεῖ στῆναι τὸ ἅρμα· ἐμείναμεν δὲ ἐκεῖ μῆνας δύο.

2) προσχὼν 3) οἱ 4) ὁδεύσαμεν 5) ἴδωμεν 6) πόπωτε· 7) im armenischen kanaphnito (cf. C. ἀναφνήτων) 8) πανμεγέθη, 9) πέπονας 10) μεγίστους· 11) φυτοὶ (v. Zacher Pseudo-Call. p. 137) 12) ἔχοντα 13) ἔχοντας 14) αἱ 15) ἀγκόνες 16) πρίωσιν 17) ἰδόντα 18) ὁρμησαν 19) ἐξέστη 20) ἀνεῖλαν **33.** 1) ᾧ 2) πυρὰς 3) armen. ochsol, v. l. ochtol, Otol. 4) μίκος 5) πήχων 6) τροπόσονται· 7) ἀνεῖλαν 8) σπίλεα 9) ἴδομεν 10) πήδοτας 11) πλουσιοτάτη·

Ἐκεῖθεν δὲ ἀπάραντες ἤλθομεν ἕως τῶν Μηλοφάγων καὶ εἴδομεν[9]) ἐκεῖ ἄνδρα δασὺν[12]) ὅλῳ τῷ cώματι, παμμεγέθη[13]), καὶ ἐφοβήθημεν· καὶ κελεύω αὐτὸν cυλληφθῆναι. ὁ δὲ cυλληφθεὶc ἀγρίωc ἡμᾶc κατώπτευεν.[14]) κελεύω δὲ γυναῖκα γυμνὴν προcενεχθῆναι αὐτῷ. ὁ δὲ ἁρπάcαc αὐτὴν κατήcθιεν.[15]) cυνδραμόντων δὲ τῶν cτρατιωτῶν ἐξελεῖν αὐτὴν ἐβαττάριcεν[16]) τῇ γλώccῃ αὐτοῦ. καὶ ἀκούcαντεc οἱ λοιποὶ cύντοποι αὐτοῦ ἐξῆλθον πρὸc ἡμᾶc ἐκ τοῦ ἕλουc ἄνδρεc ὡcεὶ μύριοι, τὸ δὲ cτρατόπεδον ἡμῶν ἦν μυριάδεc τέccαρεc· καὶ κελεύω ἀνάπτειν[17]) (πῦρ· οἱ δὲ ἰδόντεc) τὸ πῦρ ἔφυγον. διώξαντεc δὲ αὐτοὺc ἐκρατήcαμεν ἐξ αὐτῶν τρεῖc, οἱ καὶ μὴ μεταcχόντεc τροφῆc μέχριc ἡμερῶν ὀκτὼ ἐτελεύτηcαν. εἶχον δὲ λογιcμὸν οὐκ ἀνθρώπινον, ἀλλ' ὡc οἱ κύνεc ὑλάκτουν.[18])

fol. 242 b

Cap. 36.

Ἐκεῖθεν δὲ ἀναχωρήcαντεc ἤλθομεν εἴc τινα ποταμόν. ἐκέλευcα οὖν παρεμβολὴν γενέcθαι καὶ καθοπλιcθῆναι τῇ cυνηθείᾳ τὰ cτρατόπεδα. ἦν δὲ ἐν τῷ ποταμῷ δένδρα, καὶ ἅμα τῷ[1]) ἡλίῳ[2]) ἀνατέλλοντι[3]) καὶ τὰ δένδρα ηὔξανον μέχριc ὥραc ἕκτηc, ἀπὸ δὲ ὥραc ἑβδόμηc ἐξέλειπον[4]) ὥcτε μηδ' ὅλωc φαίνεcθαι. δάκρυα δὲ εἶχον ὡc Περcικὴν cτακτήν, πνοὴν δὲ πάνυ ἡδυτάτην καὶ χρηcτήν. ἐκέλευcα οὖν κόπτεcθαι τὰ δένδρα καὶ cπόγγοιc ἐκλέγεcθαι αὐτῶν τὰ δάκρυα.[5]) αἰφνίδιον[6]) δὲ οἱ ἐκλέγοντεc ἐμαcτιγοῦντο ὑπὸ δαίμονοc ἀοράτου· καὶ τῶν μὲν μαcτιγουμένων τὸν ψόφον ἠκούομεν[7]) καὶ τὰc πληγὰc ἐπὶ τῶν νώτων ἐρχομέναc ἐβλέπομεν, τοὺc δὲ τύπτονταc οὐκ ἐθεωροῦμεν. φωνὴ δέ τιc ἤρχετο λέγουcα μηδὲ ἐκκόπτειν μηδὲ cυλλέγειν· εἰ δὲ οὐ παύcηcθε[8]), γενήcεται ἄφωνον τὸ cτρατόπεδον. ἐγὼ οὖν φοβηθεὶc ἐκέλευcα μήτε ἐκκόπτειν μήτε cυλλέγειν τινὰ ἐξ αὐτῶν. ἦcαν δὲ ἐν τῷ ποταμῷ λίθοι μέλανεc· ὅcοι οὖν ἥπτοντο τῶν λίθων τούτων, τὴν ἴcην χρόαν ἐλάμβανον τοῖc λίθοιc. ἦcαν δὲ καὶ δράκοντεc πολλοὶ ἐν τῷ ποταμῷ καὶ ἰχθύων πολλὰ γένη, ἅτινα πυρὶ οὐκ ὠπτῶντο[9]), ἀλλ' ἐν ὕδατι ψυχρῷ πηγαίῳ. εἷc οὖν τῶν cτρατιωτῶν λαβὼν καὶ πλύναc καὶ βαλὼν εἰc ἄγγοc ἀφῆκεν καὶ εὗρε τὸν ἰχθὺν ὠπτημένον.[10]) ἦcαν δὲ ἐν τῷ ποταμῷ ὄρνεα παρεμφερῆ[11]) τῶν παρ' ἡμῖν ὀρνέων· εἴ τιc οὖν αὐτῶν ἐθίγγανε[12]), πῦρ ἐξέβαινεν ἐξ αὐτῶν.[13])

fol. 243 a

Cap. 37.

Τῇ δὲ ἐπιούcῃ ἡμέρᾳ ὡδεύcαμεν πλαζόμενοι.[1]) ἔλεγον δέ μοι οἱ ὁδηγοί· οὐκ οἴδαμεν ποῦ ὑπάγομεν, δέcποτα βαcιλεῦ Ἀλέξανδρε· ὑποcτρέψωμεν[2]) μὴ εἰc τόπουc χείροναc ἐμπέcωμεν. ἐγὼ δὲ

12) δαcὺ ἐν 13) πανμεγεθῆ 14) καθόπτευεν· 15) κατέcθιεν· 16) Gildem.; cod. ἐταρτάρηcεν 17) ἀναπτῆναι 18) ἠλάκτουν· **36.** 1) τοῦ 2) ἡλίου 3) ἀνατέλοντοc, 4) ἐξέλιπον 5) τῶν δακρύων· 6) αἰφνήδιον 7) ἠκούαμεν· 8) παύcητε· 9) ὀψῶντο 10) ὀψημένον· (ἑψημένον?) 11) παρεμφεροῖ· 12) ἐθήγγανε 13) αὐτοῦ· **37.** 1) πελαζόμενοι· 2) ὑποcτρέψομεν

τὸ ἑαυτοῦ παλάτιον καὶ ῥίψας ἑαυτὸν εἰς τὸ ἔδαφος ἀνοιμώξας[28]) σὺν δάκρυσιν ἐθρήνει ἑαυτόν, ἀπολέσας τοσοῦτον πλῆθος στρατιωτῶν καὶ τὴν Περσίδα ὅλην ἐρημώσας. συμφοραῖς δὲ τοιαύταις συνεχόμενος[29]) ἐθρήνει ἑαυτῷ λέγων· ὁ τηλικοῦτος βασιλεὺς Δαρεῖος, ὁ τοσαῦτα ἔθνη ὑποτάξας καὶ πάσας τὰς πόλεις δουλωσάμενος, ὁ θεῶν σύνθρονος γενόμενος[30]) καὶ τῷ ἡλίῳ συνανατείλας νῦν φυγὰς ἐγενόμην ἔρημος. ἀληθῶς τὸ μέλλον οὐδεὶς ἀσφαλῶς βουλεύεται· ἡ[31]) γὰρ τύχη[32]) εἰ[33]) βραχεῖαν λάβῃ[34]) ῥοπὴν τοὺς ταπεινοὺς ὑπεράνω τῶν νεφελῶν ἀναβιβάζει καὶ τοὺς ἀπὸ ὕψους εἰς Ἅιδου κατάγει.[35]) ἔκειτο οὖν Δαρεῖος ἔρημος ἀνθρώπων, ὁ τοσούτων ἐθνῶν βασιλεὺς γενόμενος.

fol. 232 b

Cap. 17.

Ὀλίγον οὖν διανήψας καὶ διαναστὰς καὶ εἰς ἑαυτὸν γενόμενος ἐτύπωσεν ἐπιστολὴν καὶ πέμπει εἰς Ἀλέξανδρον περιέχουσαν οὕτως· Δαρεῖος Ἀλεξάνδρῳ τῷ ἐμῷ δεσπότῃ χαίρειν. ὁ τὸ φῶς μοι δείξας ὑπερφρονήσας μέγαν ἔρωτα ἔσχεν εἰς τὴν Ἑλλάδα στρατεύσασθαι, ἄπληστος[1]) χρυσίου γενόμενος καὶ τῆς ἄλλης εὐδαιμονίας τῆς ὑπαρχούσης[2]) ἡμῖν ἐκ πατέρων. ἀπέθανεν[3]) οὖν πολὺ χρυσίον καὶ πολὺ[4]) ἀργύριον καὶ πολλὰς[5]) σκηνὰς[6]) ἀπολέσας ὑπὲρ Κροῖσον τὸν Λύδιον πλουτήσας, καὶ τὸν ἐνεστῶτα θάνατον οὐκ ἐξέφυγεν.[7]) τοίνυν[8]), Ἀλέξανδρε, σὺ οὖν κατανοήσας[9]) τύχην[10]) καὶ νέμεσιν[11]) τὸ μέγα φρονεῖν ὑπεστήσω(?). οἴκτειρον οὖν ἡμᾶς πρὸς σὲ καταφεύγοντας. πρὸς Διὸς[12]) καὶ τῆς ἄλλης[13]) ὑπαρχούσης[14]) ἡμῖν εὐγενείας ἀπὸ Περσῶν [καὶ] ἀπόδος[15]) μοι τὴν γυναῖκά μου καὶ τὴν μητέρα καὶ τὰ τέκνα, μνησθεὶς τῶν πατρῴων ἐλπίδων. καὶ ἀντὶ τούτων ὑπισχνοῦμαί[16]) σοι[17]) διδόναι τοὺς θησαυροὺς τοὺς[18]) ἐν Μηδίᾳ[19]) (?) τῇ χώρᾳ, καὶ ἐν Σούσοις[20]) καὶ ἐν Βάκτροις[21]), οὓς οἱ πατέρες ἡμῶν παρέθεντο[22]) τῇ γῇ· ὑπισχνοῦμαι[23]) δέ σοι καὶ τὴν Περσῶν καὶ Μήδων καὶ τῶν[24]) ἄλλων ἐθνῶν χώρας κυριεύειν πάντα τὸν χρόνον. ἔρρωσο.[25])

fol. 233 a

Ταύτης δὲ τῆς ἐπιστολῆς γνοὺς Ἀλέξανδρος τὴν δύναμιν συνήθροισε πᾶν τὸ στρατόπεδον αὐτοῦ καὶ μεγιστᾶνας καὶ ἐκέλευσεν ὑπαναγνωσθῆναι αὐτοῖς τὰ γράμματα τὰ Δαρείου. ταύτης δὲ τῆς ἐπιστολῆς ὑπαναγνωσθείσης[26]) εἶπεν εἷς τῶν στρατηγῶν Παρμένιος ὀνόματι· ἐγὼ βασιλεῦ Ἀλέξανδρε, ἐλάμβανον (ἂν) τὰ χρήματα καὶ τὴν χώραν τὴν δεδομένην σοι, καὶ ἀπέδωκα Δαρείῳ τὴν μητέρα καὶ τὰ τέκνα καὶ τὴν γυναῖκα αὐτοῦ κοιμηθεὶς μετ' αὐτῶν.

---

28) ἀνιμώξας 29) διερχόμενος (vielleicht συνεχόμενος καὶ αὐτὰ διερχ.) 30) γενάμενος 31) εἰ 32) τύχει 33) ἤ 34) λάβει 35) κατάγων· **17.** 1) ἄπληστως 2) ἐπαρχούσης 3) ἀπέθανον 4) πολὺν 5) πολὰς 6) κηνὰς 7) ἐξέφυγον· 8) τί οὖν 9) κατανοήσω 10) τύχει 11) νεμέσει· 12) δὲ εἰς 13) ἄλης (ὅλης?) 14) ἐπαρχούσης 15) ἀπόδως 16) ὑπεισχνούμε 17) σου 18) τῶν 19) μυσιάδι (im armen. mîna) 20) σισοῖς 21) βάτρεις 22) παρέθετο 23) ὑπεισχνοῦμαι 24) κοῖτων 25) ἔρρωσον· 26) ὑπαναγνωσθήσεις

μειδιάσας δὲ Ἀλέξανδρος εἶπε πρὸς αὐτόν· ἐγὼ μέν, Παρμένιε, πάντα λαμβάνω παρ' αὐτοῦ· ἐθαύμασα[27]) δὲ ὅτι Δαρεῖος διὰ χρημάτων (τῶν ἐμῶν) ἀξιοῖ λυτρώσασθαι τοὺς ἰδίους, πολλῷ μᾶλλον δὲ (ὅτι) καὶ τὴν χώραν τὴν ἐμὴν ὑπισχνεῖταί[28]) μοι ἀποδοῦναι. ἀγνοεῖ δὲ τοῦτο Δαρεῖος, ὅτι εἰ μὴ νικήσει[29]) με μαχόμενος, ταῦτα πάντα ἐμά εἰσι μετὰ[30]) τῶν ἰδίων αὐτοῦ· πλὴν αἰσχρόν ἐστι καὶ λίαν αἰσχρόν, ἄνδρας τὸν ἄνδρα ἀνδρείως νικήσαντα ὑπὸ γυναικῶν ἀθλίως ἡττηθῆναι. ἡμεῖς οὖν πρὸς ἐκεῖνον τὴν μάχην ὀτρύνωμεν[31]) περὶ τῶν ἡμετέρων· ἐγὼ γὰρ τὸ σύνολον εἰς τὴν Ἀσίαν οὐκ ἂν ἦλθον, εἰ μὴ ὑπελάμβανον αὐτὴν[32]) ἐμὴν εἶναι. εἰ δὲ πρότερος[33]) αὐτῆς ἐκεῖνος ἦρχεν, τοῦτο κερδαινέτω[34]), διότι χώραν ἔχων ἀλλοτρίαν τοσοῦτον χρόνον οὐδὲν ἔπαθε κακόν. καὶ ταῦτα εἰπὼν Ἀλέξανδρος τοῖς πρεσβευταῖς Δαρείου ἐκέλευσεν αὐτοὺς ἀπελθόντας ταῦτα Δαρείῳ ἀπαγγεῖλαι, γράμματα αὐτοῖς μὴ δούς. ἐκέλευσεν οὖν Ἀλέξανδρος τοὺς τραυματισθέντας ἐν τῷ πολέμῳ στρατιώτας θεραπεύεσθαι πάσῃ ἐπιμελείᾳ, τοὺς δὲ τελευτήσαντας κηδείας[35]) τυγχάνοντας[36]) θάπτεσθαι. μείνας (οὖν) ἐκεῖ τὸν χειμῶνα προσέταξεν ἐμπυρίζεσθαι τὰ Ξέρξου βασίλεια ὄντα κάλλιστα κατὰ τὴν χώραν ἐκείνην· μικρὸν δὲ πάλιν μετανοήσας[37]) παύσασθαι αὐτοὺς ἐκέλευσεν.

fol. 233b

Cap. 18.

Ἐθεάσατο δὲ καὶ τοὺς Περσῶν τάφους χρυσῷ πολλῷ κεκοσμημένους· εἶδε[1]) δὲ καὶ τὸν Ναβονασάρου τάφον, τοῦ κεκλημένου Ναβουχοδονόσωρ Ἑλλαδικῇ φωνῇ, καὶ τὰ ἀναθήματα τῶν Ἰουδαίων ἐκεῖ κείμενα καὶ τοὺς κρατῆρας τοὺς χρυσοῦς ὡς ἡρώων εἶναι τὴν θέαν. παραπλήσιον ἐθεάσατο καὶ τὸν Κύρου τάφον· ἦν δὲ πύργος αἴθριος δωδεκάστεγος· ἐν δὲ τῇ ἄνω στέγῃ ἔκειτο (αὐτὸς) ἐν χρυσῇ πυέλῃ, καὶ ὕελος περιεκέχυτο[2]), ὥστε τὸ τρίχωμα[3]) αὐτοῦ φαίνεσθαι, καὶ αὐτὸν[4]) δὲ ὅλον διὰ τοῦ ὑέλου.

fol. 234a

Ἐνταῦθα δὲ ἦσαν Ἕλληνες εἰς τὸν τάφον Ξέρξου λελωβημένοι[5]), οἱ μὲν πόδας, οἱ δὲ ῥῖνας, ἕτεροι δὲ τὰ ὦτα αὐτῶν, δεδεμένοι πέδαις[6]) καὶ ἡλωθέντες[7]), ἄνδρες Ἀθηναῖοι, (οἳ) ἐξεβόησαν τῷ Ἀλεξάνδρῳ ὥστε σῶσαι αὐτούς. ὁ δὲ Ἀλέξανδρος ἰδὼν αὐτοὺς ἐδάκρυσεν· ἦν γὰρ ἡ θεωρία αὐτῶν δεινή. βαρέως οὖν ἤνεγκεν περὶ τοῦτο καὶ προσέταξε λυθῆναι[8]) αὐτοὺς καὶ διδόναι αὐτοῖς[9]) δίδραχμα[10]) χίλια[11]) καὶ ἀποκαταστῆσαι αὐτοὺς εἰς τὴν ἰδίαν[12]) ἑκάστῳ πατρίδα. οἱ δὲ λαβόντες τὸ ἀργύριον ἠξίωσαν Ἀλέξανδρον χώραν αὐτοῖς ἀπομερισθῆναι[13]) (ἐν) τοῖς τόποις ἐκείνοις, εἰς δὲ τὰς πατρίδας αὐτῶν μὴ ἐκπεμφθῆναι· οὕτως διακειμένους[14]) ὄνειδος εἶναι τοῖς οἰκείοις. καὶ ἐκέλευσεν ἀπομερισθῆναι[13]) αὐτοῖς γῆν καὶ

27) ἐθαύμασε 28) ὑπεισχνεῖται 29) νικήσῃ 30) σὺν 31) ὀτρύνομεν 32) ἑαυτὴν 33) πρώτερος 34) κερδενέτω· 35) κηδίας 36) τυγχάνοντα 37) μεταποιήσας **18.** 1) ἴδε 2) περὶ ἐκέχειτο· 3) τοίχωμα 4) αὐτὸ 5) λελοβημενοι· 6) παῖδες· 7) ἡλωθέντος· 8) λυθοῦναι 9) αὐτοὺς 10) διδρόγμα τὰ (διδράχματα?) 11) χίλλια 12) ἰδείαν 13) ἀπὸμερησθηναι 14) διακοιμένους

cῖτον καὶ cπέρματα δοθῆναι αὐτοῖc καὶ βόαc ἑκάcτῳ ἓξ καὶ πρόβατα καὶ πάντα ὅcα χρήcιμα[15]) εἰc γεωργίαν καὶ ἕτερον χρῆμα.

fol. 234 b

Cap. 19.

Ὁ δὲ Δαρεῖοc ηὐτρεπίζετο εἰc ἕτερον πόλεμον cυμβαλεῖν Ἀλεξάνδρῳ. γράφει[1]) δὲ Πώρῳ βαcιλεῖ Ἰνδῶν οὕτωc· Βαcιλεὺc Δαρεῖοc βαcιλεῖ Ἰνδῶν Πώρῳ[2]) χαίρειν. ἐπὶ τῇ γενομένῃ[3]) καταcτροφῇ τῷ οἴκῳ μου ἐν ταῖc ἡμέραιc ταύταιc καὶ νῦν δηλῶ[4]) cοι, ἐπειδὴ ἐπιβάc μοι Μακεδόνων[5]) βαcιλεὺc θηρὸc ἀγρίου ψυχὴν[6]) ἔχων οὐ βούλεται τὴν μητέρα μου καὶ τὴν γυναῖκα καὶ τὰ τέκνα ἀποδοῦναί μοι, ἐμοῦ δὲ[7]) ἐπαγγειλαμένου καὶ θηcαυροὺc καὶ ἄλλα τινὰ πλείονα παραcχεῖν αὐτῷ, οὐ πείθεται. ὅθεν οὖν ἐκπορθῆcαι[8]) αὐτὸν ἐφ' οἷc ἔπραξε, cυνίcτημι[9]) αὐτῷ[10]) ἕτερον πόλεμον μέχριc ἂν ἀμύνωμαι αὐτὸν[11]) καὶ τὸ[12]) ἔθνοc[13]) αὐτοῦ. δίκαιον οὖν ἐcτι (καὶ) cὲ ἀγανακτῆcαι ἐφ' οἷc ἔπαθον καὶ ἐξελθεῖν cε ἐπὶ τῇ ἐμῇ ὕβρει, μνηcθέντα [cε] τῶν γονικῶν ἡμῶν δικαίων. cυνάθροιcον οὖν πλεῖcτα ἔθνη ἐπὶ τὰc Καcπιακὰc[14]) πύλαc καὶ τοῖc cυνερχομένοιc ἀνδράcιν χορήγηcον[15]) χρυcίον πολὺ καὶ cῖτον καὶ χορτάcματα. πάντων δέ cοι τὸ[16]) ἥμιcυ τῶν λαφύρων ὧν ἐὰν λάβω (ἐκ) τῶν πολεμίων χαρίcομαι, καὶ τὸν λεγόμενον Βουκέφαλον ἵππον cὺν

fol. 235 a

τοῖc βαcιλικοῖc χωρίοιc μετὰ[17]) τῶν παλλακῶν αὐτοῦ. δεξάμενοc οὖν τὰ γράμματα ἡμῶν ἐν πολλῇ cπουδῇ ἄθροιcον πλήθη[18]) καὶ ἀπόcτειλον ἡμῖν. ἔρρωcο.[19]) ὁ δὲ Ἀλέξανδροc μαθὼν ταῦτα ἀπό τινοc τῶν τοῦ Δαρείου προcφυγόντοc παρ' αὐτὸν[20]) εὐθέωc ἀναλαβὼν ἅπαcαν τὴν δύναμιν αὐτοῦ τὴν πορείαν ἐποιεῖτο ἐπὶ Μηδίαν. ἤκουcε δὲ Δαρεῖον εἶναι ἐν Βατάνοιc ἐπὶ τὰc Καcπιακὰc[14]) πύλαc, καὶ cύντονον[21]) ἐποίει τὸν διωγμὸν καὶ εὐτολμότερον.[22])

Cap. 20.

Ἔγνωcαν οὖν οἱ cατράπαι Δαρείου τὸν Ἀλέξανδρον ἐγγίζειν, Βῆccοc[1]) καὶ Ἀριοβαρζάνηc[2]), καὶ παρατραπέντεc οὗτοι[3]) τὰc φρενοβλαβεῖc γνώμαc ἐβουλεύcαντο Δαρεῖον ἀναιρῆcαι. ἔλεγον γὰρ πρὸc ἀλλήλουc ὅ τε[4]) Βῆccοc καὶ ὁ Ἀριοβαρζάνηc[2]), ὅτι ἐὰν ἀνέλωμεν Δαρεῖον, ληψόμεθα[5]) παρὰ Ἀλεξάνδρου ὡc ἀναιρήcαντεc αὐτοῦ τὸν ἐχθρὸν χρήματα πολλά. αὐτοὶ οὖν κακῶc βουλευcάμενοι ἐπηνέχθηcαν ξιφήρειc[6]) Δαρείῳ. ὡc δὲ εἶδεν τούτουc Δαρεῖοc ὁρμήcανταc αὐτῷ ξιφήρειc[7]), εἶπεν αὐτοῖc· ὦ ἐμοῦ

fol. 235 b

δεcπόται, οἱ πρίν μου δοῦλοι, τί ὑμᾶc ἠδίκηcα, ἵνα ὑμεῖc ἀνάρητέ[8])

---

15) χρύcιμα **19.** 1) γράφη 2) πόρῳ 3) γεναμένη 4) δείλῶ 5) μακέδων 6) τύχην 7) τὶ 8) ἐκ πορθεῖcαι 9) cυνίcτη μοι 10) αὐτὸν 11) αὐτῷ 12) τῷ 13) ἔθνει 14) καπιακὰc 15) χωρήγηcον (wahrscheinlich χορηγήcω zu lesen) 16) τὰ 17) καὶ 18) πλήθει 19) ἔρρωcον· 20) αὐτῶ· 21) cύντομον 22) εὐτολμώτερον· **20.** 1) βῖccoc· so (ι statt η) auch im im folgenden stets. 2) ἀρειοβαρζάνηc· 3) αὐτοῦ (αὐτοὶ?) 4) ὅτε 5) ληψώμεθα 6) ξιφύρειc 7) ξιφύρει 8) ἀναρεῖτε (ἀναιρῆτε?)

με βαρβάρῳ[9]) τολμήματι; μὴ πλέον ὑμεῖc Μακεδόνων τι δράcετε[10]); ἐάcατέ με οὕτωc[11]) ἐπὶ τὰ μέλεθρα ῥιφέντα ἀναcτενάζειν τὴν ἀνωμαλῆ[12]) τύχην. ἐὰν γὰρ νῦν ἐλθὼν Ἀλέξανδροc Μακεδόνων ὁ βαcιλεὺc εὑρήcει με cφαγέντα, βαcιλεὺc βαcιλέωc ἐκδικήcει τὸ αἷμα. οἱ δὲ μηδαμῶc πειcθέντεc ταῖc ἱκεcίαιc Δαρείου φόνοιc[13]) αὐτὸν ἀμύνονται. ὁ δὲ Δαρεῖοc ταῖc δυcὶ χερcὶ τὸν μὲν Βῆccον τῇ εὐωνύμῳ γόνυ εἰc τὸν βουβῶνα[14]) αὐτοῦ ὑποκλίναc ἐκράτει, τὸν δὲ Ἀριοβαρζάνην[15]) τῇ δεξιᾷ χειρὶ ἐπιcχὼν μόνοc ἐκράτει ὥcτε μὴ ἐπιφέρειν αὐτῷ τὸ ξίφοc· † λόγχαι δὲ αὐτῶν αἱ πληγαὶ ἐτύγχανον· †τῶν δὲ δυccεβῶν[16]) μηκέτι ἰcχυόντων αὐτὸν[17]) ἀναιρῆcαι[18]), ἐπάλαιον μετ᾽ αὐτοῦ· ἦν γὰρ cθεναρόc.

Οἱ οὖν Μακεδόνεc εὑρόντεc τὸν Cτράγγαν ποταμὸν παγέντα διεπέραcαν, καὶ εἰcῆλθεν ὁ Ἀλέξανδροc εἰc τὰ βαcίλεια Δαρείου. οἱ οὖν δυccεβεῖc μαθόντεc τὴν εἴcοδον Ἀλεξάνδρου ἔφυγον καταλείψαντεc Δαρεῖον ἡμίπνουν.[19]) καὶ ἐλθὼν ὁ Ἀλέξανδροc ἐπὶ τὸν βαcιλέα Δαρεῖον καὶ εὑρὼν αὐτὸν cφαγέντα ὑπὸ Ἀριοβαρζάνου καὶ Βήccου (ἔτι) ἡμίπνουν, ἐκκεχυμένον ξίφει τούτου τὸ αἷμα, ἀνοιμώξαc αὐτῷ θρῆνον ἄξιον λύπηc δάκρυα ἐξέχεεν ἐπ᾽ αὐτῷ, fol. 236ᵃ καὶ τῇ χλαμύδι[20]) αὐτοῦ ἐcκέπαcε τὸ cῶμα Δαρείου. τὰc χεῖραc δὲ ἐπιθεὶc ἐπὶ τὸ Δαρείου cτῆθοc ἐλέουc γέμονταc λόγουc ἐπ᾽ αὐτῷ ἔλεγεν· ἀνάcτα, βαcιλεῦ Δαρεῖε, καὶ τῆc cῆc γῆc βαcίλευε καὶ τῶν cεαυτοῦ δεcπότηc γενοῦ· δέξαι cου τὸ διάδημα τοῦ Περcικοῦ πλήθουc ἀνάccων, ἔχε cου τὸ μέγεθοc τῆc τυραννίδοc· ὄμνυμί cοι τὴν ἄνω πρόνοιαν, ὡc ἀληθῶc καὶ οὐ πεπλαcμένωc[21]) φράζω cοι. τίνεc δέ εἰcιν οἱ πλήξαντέc cε; μήνυcόν μοι[22]) αὐτούc, ἵνα cε νῦν ἀναπαύcω.

Καὶ ταῦτα εἰπόντοc τοῦ Ἀλεξάνδρου cτενάξαc Δαρεῖοc καὶ τὰc χεῖραc ἐκτείναc ἐπεcπάcατο τὸν Ἀλέξανδρον καὶ περιπλακεὶc αὐτῷ εἶπεν αὐτῷ· Ἀλέξανδρε βαcιλεῦ, μήποτε ἐπαρθῇc[23]) τῇ τυραννικῇ δόξῃ· ὁπόταν (δὲ) ἔργον ἰcόθεον κατορθώcῃc, καὶ χερcὶ ταῖc caῖc οὐρανὸν θέλῃc[24]) ψαῦcαι[25]), cκόπει τὸ μέλλον· ἡ τύχη γὰρ οὐκ οἶδε βαcιλέα οὔτε μὴν πλῆθοc [ἔχοντα], ἀκρίτῳ δὲ γνώμῃ πανταχόθεν ῥέμβεται.[26]) ὁρᾷc τίc ἤμην καὶ τίc γέγονα. ἀποθνήcκοντόc μου, Ἀλέξανδρε, ταῖc caῖc χερcὶν θάψον με· κηδεύcατέ fol. 236ᵇ με Μακεδόνεc καὶ Πέρcαι· μία γενέcθω[27]) cυγγένεια Δαρείῳ καὶ Ἀλεξάνδρῳ. τὴν δὲ ἐμὲ τεκοῦcαν ὡc cὲ τεκοῦcαν ἀνατίθημί cοι, καὶ τὴν γυναῖκά μου ὡc ἐμὲ οἴκτειρον, τὴν δὲ θυγατέρα μου Ῥωξάνην εἰc γυναῖκα ἐκδίδωμί cοι, †ἵνα ἐπὶ τοῖc δρωμένοιc (ὑcτέροιc?) καιροῖc ἐπὶ μνήμηc ἔcεcθαι πάντων· (λήψῃ τέκνα C) καὶ ἐπὶ τέκνοιc καυχήcεcθε ὡc ποτὲ καὶ ἡμεῖc· cὺ μὲν ἐπὶ φιλίππῳ· ῥωξάνῃ

---

9) βαρβάρων 10) δράcητε· 11) οὗτοc 12) ἀνωμαλὴν 13) φώνοιc 14) βουβὸν 15) ἀρειοβαρζάνην 16) διccεβῶν 17) αὐτῶν 18) ἀναιρεῖcε· 19) cod.: ἡμίπνουν ἐκκεχυμένον ξ. τ. τὸ αἷμα· ἀνοιμ. κτλ. unten aber auf der seite steht von gleichzeitiger hand: ἐλθὼν ὁ ἀλ. ἐπὶ τ. β. δάρειον καὶ εὑρὼν αὐτὸν cφαγέντα ἐπὶ ἀρειοβαρζάνην καὶ βῖccον· ἐθρήνει· 20) χλαμῆδι 21) πεπλαcμένοc 22) μήνηcόν μου 23) ἁρπαcθεὶc 24) θέλειc 25) φθᾶcαι· 26) ῥεμπεται 27) γενίcθω

δὲ ἐπὶ δαρείῳ· [καὶ ἡμῖν] μνήμας τελεῖτε, χρόνοις συντηρόντες (leg. συγτηρῶντες)· † ταῦτα εἰπὼν Δαρεῖος καὶ τῷ τραχήλῳ ἐπικρεμασθεὶς Ἀλεξάνδρου ἐξέπνευσεν.

Cap. 21.

Ὁ δὲ Ἀλέξανδρος μέγα ὀλολύξας καὶ συμπαθῶς Δαρεῖον κλαύσας ἐκέλευσεν ταφῆναι αὐτὸν Περσικῷ νόμῳ. προστάσσει οὖν πρῶτον τοὺς Πέρσας προάγειν, ἔπειτα τοὺς Μακεδόνας πάντας ἐνόπλους. ὁ δὲ Ἀλέξανδρος ὑποθεὶς[1]) τὸν ὦμον[2]) αὐτοῦ τῇ κλίνῃ Δαρείου ἐβάσταζεν μετὰ τοὺς λοιποὺς σατράπας (sic). ἔκλαιον[3]) δὲ πάντες καὶ ἐθρήνουν, οὐ τοσοῦτον ἐπὶ Δαρείῳ ὅσον ἐπὶ Ἀλεξάνδρῳ, ὁρῶντες αὐτὸν βαστάζοντα τὴν κλίνην. κηδεύσας fol. 237ᵃ οὖν κατὰ τοὺς τῶν Περσῶν νόμους ἀπέλυσε τοὺς ὄχλους· εὐθέως δὲ κατὰ πόλιν δόγμα ἐξέθετο περιέχον[4]) οὕτως· Βασιλεὺς Ἀλέξανδρος, υἱὸς Φιλίππου βασιλέως καὶ βασιλίσσης Ὀλυμπιάδος, τοῖς κατὰ τὴν Περσίδα ἔν τε πόλεσι καὶ χώραις τάδε κελεύω.[5]) οὐ βούλομαι γὰρ τὰς τοσαύτας μυριάδας τῶν ἀνθρώπων κακῶς[6]) ἀπολέσθαι[7])· ἡ γὰρ εὐμένεια*) ποιεῖ με κατὰ Περσῶν νικηφόρον· εὐχαριστῶ οὖν τῇ ἄνω προνοίᾳ. γινώσκετε οὖν ὅτι σατράπας ὑμῖν καταστῆσαι βούλομαι, οἷς ὀφείλετε ὑπακούειν ὡς τῷ Δαρείῳ.**) ἕτερον δὲ βασιλέα μὴ γινώσκετε εἰ μὴ[8]) Ἀλέξανδρον. χρῆσθε[9]) οὖν τοῖς ἰδίοις ἤθεσιν (sic) καὶ ταῖς[10]) συνήθεσιν[11]) ἑορταῖς[12]) καὶ βουθυσίαις[13]) καὶ πανηγύρεσι, καθὼς καὶ ἐπὶ Δαρείου.[14]) ἕκαστος δὲ ὑμῶν ἐν τῇ ἰδίᾳ πόλει βιώτω[15])· πᾶς[16]) δέ τις καταλείψας τὴν ἰδίαν πόλιν ἢ χώραν καὶ ἐν ἀλλοδαπῇ κατοικίσας τοῖς κυσὶ βρῶμα γενήσεται. τῶν δὲ ὑπαρχόντων ὑμῶν ἕκαστος κυριευέτω πλὴν χρυσίου καὶ ἀργυρίου· τὸν γὰρ χρυσὸν καὶ ἄργυρον κελεύω ἀνάγεσθαι ἐν ταῖς ἡμετέραις πόλεσι[17]) καὶ χώραις[18])· νομίσματα[19]) δὲ ὅσα[20]) ἔχετε συγχωροῦμεν[21]) ὑμῖν ἕκαστον τῶν ἰδίων χρᾶσθαι. fol. 237ᵇ πᾶν δὲ πολεμικὸν ὅπλον κελεύω ἀναφέρειν εἰς τὰς ἐμὰς ὁπλοθήκας. οἱ δὲ σατράπαι μενέτωσαν[22]) τῇ αὐτῶν τάξει· ἔθνος γὰρ ὑμῖν οὐκέτι ἐπιβήσεται εἰ μὴ ἐμπορίας χάριν. βούλομαι δὲ τὰς χώρας ὑμῶν ἐν εὐθηνίᾳ[23]) καταστῆσαι καὶ τὰς ὁδοὺς εἰρηνικάς, ἐμπορεύεσθαι καὶ πραγματεύεσθαι μετὰ πάσης εἰρήνης, ὅπως οἱ ἀπὸ τῆς Ἑλλάδος ἐμπορεύωνται[24]) πρὸς ὑμᾶς καὶ ὑμεῖς πρὸς αὐτούς. ἀπὸ γὰρ τοῦ Εὐφράτου[25]) καὶ τῆς διαβάσεως ἐπὶ τὸν Τίγριν[26]) ποταμὸν ἕως Μηδίας Βαβυλῶνος ὁδοποιήσω καὶ σημεῖα ποιήσω, ὅπου ἡ ὁδὸς φέρει. Δαρεῖον δὲ οὐκ ἀνεῖλον ἐγώ· τίνες δέ εἰσιν οἱ τοῦτον ἀναιρήσαντες ἀγνοῶ· οἷς ὀφείλω[27]) τιμὰς μεγά-

---

21. 1) ἐπιθεις 2) νόμον 3) ἔκκλαιον 4) περιέχων 5) κελεύομε 6) κακῶν 7) ἀπολέσαι· *) vielleicht τῶν θεῶν ausgefallen; oder εὐδαιμονία zu lesen? **) wahrscheinlich ἐπὶ Δαρείου. 8) εἰμὶ 9) χρῆσθαι 10) τὰς 11) συνήθεις 12) ἑορτὰς· 13) βοηθυτίαις 14) δαρείω 15) βιῶτο· 16) ἐὰν 17) πόλαις 18) χώρεσι· 19) νομᾶς 20) ὅσας 21) συγχοροῦμεν 22) μενέσθωσαν 23) εὐθυνία 24) ἐμπορεύονται 25) ἐφράτου 26) τίγρην 27) ὠφείλω

λας [τιμῆςαι] καὶ χώρας αὐτοῖς πλείςτας ἀποδοῦναι, ὡς[28]) τὸν ἐχθρὸν ἡμῶν ἀνελόντες (sic). καὶ ταῦτα εἰπὼν Ἀλέξανδρος, ἐταράχθηςαν[29]) οἱ Πέρςαι, ὡς μέλλοντος Ἀλεξάνδρου τὴν Περςίδα καταςκάπτειν. γνοὺς δὲ Ἀλέξανδρος τὴν λύπην τοῦ ὄχλου λέγει αὐτοῖς· τί ὑπονοεῖτε, Πέρςαι, ὅτι τοὺς ἀνελόντας Δαρεῖον ἐγὼ ζητῶ; εἰ γὰρ ἔζη Δαρεῖος, ἐπεςτράτευςεν[30]) ἄν μοι πόλεμον, νῦν δὲ πᾶς πόλεμος πέπαυται. εἰ τοίνυν Μακεδών ἐςτιν ἢ Πέρςης ὁ αὐτὸν ἀνελών, προςερχέςθω μοι θαρρῶν καὶ λαμβανέτω ὃ ἐὰν αἰτήςηται[31]) παρ' ἐμοῦ. ὄμνυμι[32]) γὰρ τὴν ἄνω πρόνοιαν καὶ τῆς μητρός μου Ὀλυμπιάδος τὴν ςωτηρίαν, ὅτι ἐπιςήμους αὐτοὺς καὶ περιφανεῖς πᾶςιν ἀνθρώποις ποιήςω. καὶ οὕτως ὀμόςαντος[33]) Ἀλεξάνδρου τὸ μὲν πλῆθος ἐδάκρυςεν· Βῆςςος δὲ καὶ Ἀριοβαρζάνης[34]) προςῆλθον[35]) Ἀλεξάνδρῳ, προςδοκῶντες[36]) ὡς[37]) μεγάλα δῶρα λήψονται παρ' αὐτοῦ, καὶ λέγουςιν· δέςποτα, ἡμεῖς ἐςμεν οἱ τὸν Δαρεῖον ἀνελόντες. εὐθὺς δὲ Ἀλέξανδρος ἐκέλευςεν τούτους ςυλληφθέντας ἐπὶ τὸν τάφον ἀναςταυρωθῆναι Δαρείου. τῶν δὲ βοώντων καὶ λεγόντων· οὐκ ὤμοςας[38]) ὅτι τοὺς ἀνελόντας Δαρεῖον ἐπιςήμους αὐτοὺς καὶ περιφανεῖς ποιήςω; καὶ πῶς κελεύεις νῦν ἡμᾶς ςταυρωθῆναι παραβὰς τοὺς ὅρκους; λέγει αὐτοῖς Ἀλέξανδρος· οὐχ ὑμῶν ἕνεκα, ὦ κάκιςτοι, ἀπολογοῦμαι[39]), ἀλλ' ἕνεκα τοῦ πλήθους τῶν ςτρατευμάτων· ἄλλως γὰρ οὐκ ἦν εὑρεῖν ὑμᾶς οὕτως ῥᾳδίως καὶ ἐμφανεῖς ποιῆςαι.*) οἱ γὰρ τὸν ἑαυτῶν δεςπότην ἀνελόντες πῶς ἐμὲ φείςονται[40]); εἰς ὑμᾶς οὖν, ὦ κάκιςτοι, οὐκ ἐπιώρκηςα[41])· ὤμοςα γὰρ περιφανεῖς καὶ ἐπιςήμους ὑμᾶς ποιῆςαι πᾶςιν, τοῦτ' ἔςτιν ἀναςταυρωθῆναι, ἵνα πάντες ὑμᾶς θεωρήςωςιν.[42]) καὶ οὕτως εἰπόντος ἐπευφήμηςαν[43]) αὐτὸν πάντες, καὶ οἱ μὲν κάκιςτοι φονεῖς[44]) ἀναςταυροῦνται ἐπὶ τῷ τάφῳ Δαρείου.

fol. 238a

fol. 238b

Cap. 22.

Ὁ δὲ Ἀλέξανδρος ἀποκαταςτήςας ἐν εἰρήνῃ πᾶςαν τὴν χώραν λέγει αὐτοῖς· τίνα βούλεςθε ςατράπην εἶναι τῆς πόλεως ὑμῶν; οἱ δὲ εἶπον· Λίτην τὸν τοῦ Δαρείου ἀδελφόν. ὁ δὲ προςέταξεν τοῦτον γενέςθαι. ἦν δὲ καταλιπὼν τὴν μητέρα Δαρείου καὶ τὴν γυναῖκα καὶ τὴν θυγατέρα[1]) αὐτοῦ ἐν τῇ * πόλει ἀπεχούςῃ[2]) διάςτημα ἡμερῶν δύο· γράφει οὖν πρὸς αὐτὰς οὕτως· Βαςιλεὺς Ἀλέξανδρος Στατείρᾳ[3]) καὶ Ῥοδογούνῃ[4]) καὶ Ῥωξάνῃ[5]) τῇ[6]) ἐμῇ[7]) γυναικὶ[8]) χαίρειν. ἀντιταξάμενοι Δαρείῳ οὐκ ἠμυνάμεθα[9]), μᾶλλον δὲ τὸ ἐναντίον ηὐχόμην ἐγὼ ζῶντα αὐτὸν ὑπὸ

---

28) ὃς 29) ἐταράχθειςαν 30) ὑπεςτράτευςεν 31) αἰτήςειται 32) ὤμνημοι 33) ὀμώςαντος 34) ἀρειοβαρζάνης, 35) προςελθὼν 36) προςδοκόντες 37) ὡς vor προςδοκῶντες 38) ὤμωςας 39) ἀπολογοῦ με· *) wol einige worte ausgefallen. 40) φήςονται· 41) ἐπιόρκηςα· 42) θεωρίςωςιν· 43) ἐπεφήμηςαν 44) φωνεῖς **22.** 1) θυγατέραν *) vielleicht τινὶ 2) ἀπέχουςαν 3) ςτατῆρα· 4) ῥοδῶ· 5) ῥωξάνην 6) τὴν 7) ἐμὴν 8) γυναῖκα 9) ἡμινάμεθα·

τὰ ἐμὰ βασίλεια (sic) κατέχειν· ἐσχάτως[10]) δὲ τοῦτον κατέλαβον ἔχοντα, ὃν ἐλεήσας τῇ ἐμῇ χλαμύδι περιέστειλα. ἐπυθόμην[11]) δὲ
fol. 239ᵃ παρ᾽ αὐτοῦ μαθεῖν τίς ἐστιν ὁ πλήξας· ἀλλ᾽ ὅμως οὐδέν μοι εἶπεν πλὴν τοῦτο· παρατίθημί σοι τὴν ἐμὲ τεκοῦσαν καὶ τὴν ἐμὴν σύμβιον, ἐξαιρέτως δὲ Ῥωξάνην τὴν ἐμὴν θυγατέρα καὶ σύμβιόν σου· περὶ δὲ τῶν συμβάντων αὐτῷ οὐκ ἔφθασέ[12]) μοι ὁμιλῆσαι. τοὺς μὲν οὖν αἰτίους τῆς ἀπωλείας[13]) αὐτοῦ ἠμυνάμην[14]) ἀξιοπρεπῶς. προσέταξεν δὲ ἡμῖν τοῦτον κηδεῦσαι παρὰ τοὺς τῶν πατέρων αὐτοῦ τάφους· ὃ καὶ γέγονεν· οἶμαι δὲ καὶ ὑμᾶς ταῦτα πάντα ἀκηκοέναι. παύσασθε οὖν τῆς λύπης αὐτοῦ· ἐγὼ γὰρ ἀποκαταστήσω ὑμᾶς εἰς τὰ ὑμέτερα βασίλεια. πρὸς τὸ παρὸν δὲ διατρίψατε ἐν τῷ τόπῳ ἐν ᾧ ἐστε[15]), μέχρις ἂν καὶ τὰ ἐνταῦθα καλῶς διαθῶμεν· κατὰ δὲ τὴν πρόσταξιν Δαρείου Ῥωξάνην τὴν ἐμὴν γυναῖκα σύνθρονόν μοι εἶναι βούλομαι, εἰ καὶ ὑμῖν τοῦτο ἀρεστόν ἐστι· προσκυνεῖσθαι[16]) δὲ ἀπὸ τοῦ νῦν ὡς Ἀλεξάνδρου γυναῖκα βούλομαι καὶ κελεύομαι. ἔρρωσθε.[17])

Δεξάμεναι δὲ τὰ γράμματα Ἀλεξάνδρου ἀντέγραψαν αὐτῷ Ῥοδογούνη[18]) καὶ Στάτειρα[19]) ταῦτα· Ἀλεξάνδρῳ βασιλεῖ χαίρειν.
fol. 239ᵇ ηὐξάμεθα οὖν τοῖς κλίνασι τοῦ Δαρείου ὄνομα καὶ τὸ τῶν Περσῶν καύχημα, σὲ[20]) αἰώνιον βασιλέα τῆς οἰκουμένης ἀναδεῖξαι[21]), λογισμῷ καὶ φρονήσει καὶ δυνάμει ἀνάπλεον. οἴδαμεν δὲ ὑπὸ τὰς σὰς ἀγκάλας οὖσαι, ὅτι[22]) ὡς αἰχμαλώτοις[23]) οὐκ ἐχρήσω ἡμῖν[24])· ἐπευχόμεθα οὖν τῇ ἄνω προνοίᾳ, καὶ ἔτη κάλλιστα παρασχεῖν σοι τοῦ δεσπόζειν χρόνοις ἀναριθμήτοις. ἐλέγχει δέ σοι τὰ ἔργα, ὅτι ἐξ ὑπερεχούσης φυλῆς γεγενημένος ὑπάρχεις.[25]) νῦν δὲ ἡμεῖς οὐκέτι[26]) ἐσμὲν ὡς αἰχμάλωτοι[27])· καὶ οἴδαμεν Ἀλέξανδρον νέον Δαρεῖον γεγονέναι[28]) ἡμῖν. Ἀλέξανδρον προσκυνοῦμεν τὸν μὴ καταισχύνοντα ἡμᾶς. ἐγράψαμεν δὲ πανταχοῦ· τὸ τῶν Περσῶν ἔθνος, ἰδοὺ νῦν Δαρεῖος τελευτήσας εὗρεν Ἀλέξανδρον μέγιστον βασιλέα· ἡ γὰρ τύχη Ῥωξάνην ἄγει πρὸς γάμον Ἀλεξάνδρου, (ὃς) βασιλεὺς πάσης τῆς οἰκουμένης. πάντες οὖν προσάγετε Ἀλεξάνδρῳ εὐχαριστίας[29]) ἀξίας[30]), ὅτι τὸ τῶν Περσῶν καύχημα μειζόνως νῦν ὑψώθη. ἀγάλλεσθε[31]) οὖν σὺν ἡμῖν μέγιστον βασιλέα Ἀλέξανδρον ἀναγορεύσαντες. καὶ ταῦτα μὲν πρὸς τοὺς Πέρσας ἐδηλώσαμεν.[32]) ἔρρωσο.

fol. 240ᵃ Ὁ δὲ Ἀλέξανδρος δεξάμενος τὰ γράμματα αὐτῶν ἀντέγραψεν αὐταῖς[33]) οὕτως· Ἐπαινῶ ὑμῶν τὸ φρόνημα· ἀγωνίσασθαι[34]) δὲ βούλομαι ἄξια τῆς ἀγάπης ὑμῶν, ἐπεὶ κἀγὼ ἄνθρωπος φθαρτός εἰμι. ἔρρωσθε.[35])

Ἐν ἑτέρῳ δὲ ἔγραψεν καὶ Ῥωξάνῃ[36]) τὰ δόξαντα αὐτῷ· γρά-

---

10) ἔσχατον 11) ἐπειθώμην 12) ἔφθασαί 13) ἀπολείας 14) ἠμινάμην 15) ἐσταί· 16) προσκυνήσθω 17) ἔρρωσθαι:· 18) ῥοδῶ 19) στατῆρα 20) ὅτι σὲ 21) ἀνέδειξεν· 22) ὅτι hinter οἴδαμεν δὲ· 23) αἰχμάλωτας 24) ἡμᾶς· 25) ὑπάρχων· 26) οἰκέται 27) αἰχμάλωται· 28) γεγοναίνε 29) εὐχαριστείας 30) ἀξίους· 31) ἀγάλλεσθαι 32) δηλώσαντες· 33) αὐτοῖς 34) ἀγωνήσασθαι 35) ἔρρωσθαι:· 36) ῥωξάνη

φει[37]) δὲ καὶ Ὀλυμπιάδι τῇ μητρὶ αὐτοῦ οὕτως· Ἀλέξανδρος βασιλεὺς τῇ γλυκυτάτῃ μου μητρὶ χαίρειν. ἔγραψά σοι τοῦ ἀποστεῖλαί μοι τὸν γυναικεῖον κόσμον καὶ τὸν ἱματισμὸν [τῆς μητρὸς Δαρείου καὶ τῆς αὐτοῦ γυναικὸς καὶ τὸν κόσμον τὸν βασιλικὸν] ὑπὲρ Ῥωξάνης τῆς θυγατρὸς Δαρείου καὶ ἐμῆς συζύγου. δεξαμένη οὖν ἡ μήτηρ αὐτοῦ τὰ γράμματα ἀπέστειλεν αὐτῷ[38]) πᾶσαν τὴν βασιλικὴν αὐτῆς ἐσθῆτα καὶ πάντα κόσμον ἐκ χρυσοῦ καὶ λίθων τιμίων κατεσκευασμένον.[39]) δεξάμενος δὲ Ἀλέξανδρος ταῦτα ἐν ἑτοίμῳ πεποίηκεν τοὺς γάμους ἐν τοῖς βασιλείοις Δαρείου· καὶ τίς ἱκανῶς[40]) διηγήσεται τὴν ἐκεῖ τότε γενομένην[41]) χαράν;

Cap. 23.

Μετὰ δὲ ταῦτα γράφει[1]) Ἀλέξανδρος πρὸς τὴν μητέρα αὐτοῦ οὕτως· Βασιλεὺς Ἀλέξανδρος τῇ ἐμῇ περιποθήτῳ μητρὶ καὶ Ἀριστοτέλει[2]) τῷ τιμιωτάτῳ μου καθηγητῇ χαίρειν. ἀναγκαῖον ἡγησάμην γράψαι ὑμῖν περὶ τῆς γενομένης[3]) μοι πρὸς Δαρεῖον μάχης. ἀκούσας γὰρ ὄντα περὶ τὸν Ἰσσιακὸν[4]) κόλπον μετὰ πλήθους στρατοπέδων καὶ βασιλέων ἑτέρων συλλαβὼν αἶγας πλείστας καὶ συνδήσας λαμπάδας ἐν τοῖς κέρασιν αὐτῶν ἐξῆλθον καὶ ἐβάδιζον νυκτός. οἱ δὲ ἰδόντες τὰς λαμπάδας μακρόθεν ὑπέλαβον εἶναι στρατὸν ἀναρίθμητον, ὅθεν καὶ εἰς δειλίαν τραπέντες ἡττήθησαν. καὶ οὕτως τὴν κατ' αὐτῶν νίκην ἐποιησάμην, ἐν ᾧ τόπῳ ἔκτισα[5]) [τὴν][*]) πόλιν, Αἰγὰς αὐτὴν προσονομάσας· ἑτέραν δὲ πόλιν ἔκτισα[5]) ἐν τῷ Ἰσσιακῷ[6]) κόλπῳ, Ἀλεξάνδρειαν αὐτὴν ὀνομάσας. καταλειφθεὶς δὲ Δαρεῖος συνελήφθη καὶ ἐτραυματίσθη παρὰ τῶν αὐτοῦ σατραπῶν. ἐγὼ δὲ λίαν ἐλυπήθην περὶ αὐτοῦ· νικήσας γὰρ αὐτὸν οὐκ ἐβουλόμην φονεῦσαι, ἀλλ' ἔχειν αὐτὸν ὑπὸ τὰ ἐμὰ σκῆπτρα. ἔμπνουν δὲ τοῦτον καταλαβών, περιελὼν [δὲ] τὴν περικειμένην μοι χλαμύδα τοῦτον ἐσκέπασα· εἶτα ὑπονοήσας τὸ τῆς ἀδήλου τύχης ἐπὶ τὸ τοῦ Δαρείου ὑπόδειγμα τοῦτον ἐθρήνησα. κηδεύσας οὖν βασιλικῶς ἐκέλευσα ἀποτμηθῆναι ῥῖνας καὶ ὠτία τῶν φυλασσόντων αὐτοῦ τὸν τάφον, τῇ κατὰ τὴν χώραν συνηθείᾳ[7]) ἐξακολουθῶν. τοὺς δὲ ἀνελόντας Δαρεῖον ἐκέλευσα ἀνασταυρωθῆναι ἐν τῷ τάφῳ Δαρείου. ἐκεῖθεν δὲ ἐξελθὼν κατεκράτησα Ἀρειοβαρζὰν καὶ Μαναζακοῦ βασιλείαν· Μηδίαν τε καὶ Ἀρμενίαν † ἐβέσίαν † καὶ πᾶσαν τὴν Περσικὴν χώραν, ἧς[8]) ἐβασίλευεν Δαρεῖος, ὑπέταξα.

fol. 240b

fol. 241a

Cap. 32.*)

Ἐκεῖθεν οὖν παραλαβὼν ὁδηγοὺς ἐβουλήθην εἰσελθεῖν εἰς τὰ ἐνδότερα μέρη τῆς ἐρήμου, καὶ οὐ συνεβούλευόν[1]) μοι ἀπελθεῖν

---

37) ἐγράφη 38) αὐτὸν 39) κατεσκευασμένων· 40) ἱκονὸς (vielleicht ἱκανὸς διηγήσασθαι) 41) γεναμένην **23.** 1) Γράφη 2) ἀριστοτέλη 3) γεναμένης 4) ἠσιακὸν 5) ἔκτησα *) τινὰ? 6) νησιακῶ 7) συνήθει (vielleicht τὰ κατὰ τ. χ. συνήθη) 8) οἷς **32.** cap. 23 extr. bis 31 fehlen wie in B so auch in L. 1) οὐκ ἐσυνεβούλευόν

ἐκεῖϲε διὰ τῶν θηρίων τὸ πλῆθοϲ τῶν ἐνοικούντων τοῖϲ τόποιϲ ἐκείνοιϲ. ἀλλ' ὅμωϲ μὴ προϲϲχὼν[2]) τοῖϲ λόγοιϲ αὐτῶν ἠρξάμην τῆϲ ὁδοῦ. ἤλθομεν οὖν εἴϲ τινα τόπον φαραγγώδη, ἧ[3]) ἦν ὁδὸϲ λίαν ϲτενὴ καὶ φαραγγώδηϲ, ἣν καὶ ὡδεύϲαμεν[4]) ἡμέραϲ ὀκτώ. εἴδομεν[5]) (δὲ) ἐν τοῖϲ τόποιϲ ἐκείνοιϲ θηρία ἀλλογενῆ, οἷα οὐκ οἴδαμεν πώποτε.[6]) διελθόντεϲ δὲ τὸν τόπον ἐκεῖνον ἤλθομεν εἰϲ ἕτερον θρηνωδέϲτερον τόπον· εὕραμεν δὲ ἐκεῖ πολλὴν ὕλην δένδρων καλουμένων ἀναφάνδα[7]), καρπὸν ἔχοντα ξένον καὶ παρηλ-

fol. 241b λαγμένον· ἦϲαν γὰρ μῆλα παμμεγέθη[8]), οἷον πέπονεϲ[9]) μέγιϲτοι.[10]) ἦϲαν δὲ καὶ ἄνθρωποι ἐν τῇ ὕλῃ ἐκείνῃ πίθηκοι[11]) λεγόμενοι, ἔχοντεϲ[12]) ὕψει πήχειϲ εἴκοϲι τέϲϲαραϲ, μακροὺϲ τραχήλουϲ ἔχοντεϲ ὡϲ ἕνα πῆχυν καὶ ἥμιϲυ, ὁμοίωϲ καὶ πόδαϲ μακροὺϲ ἔχοντεϲ[13]), οἱ[14]) δὲ ἀγκῶνεϲ[15]) αὐτῶν πρίοϲιν[16]) ἦϲαν παρεμφερεῖϲ καὶ αἱ χεῖρεϲ. ἰδόντεϲ[17]) δὲ ἡμᾶϲ ὥρμηϲαν[18]) ἐπὶ τὸ ϲτρατόπεδον. ἐγὼ δὲ ἰδὼν ταῦτα ἐξέϲτην[19]) τῇ διανοίᾳ· ἐκέλευϲα οὖν ϲυλληφθῆναι ἕνα ἐξ αὐτῶν. ὁρμηϲάντων δὲ ἡμῶν πρὸϲ αὐτοὺϲ μετὰ φωνῶν καὶ ϲαλπίγγων ἔφυγον· ἐφονεύϲαμεν δὲ ἐξ αὐτῶν τριάκοντα δύο· αὐτοὶ δὲ ἀνεῖλον[20]) ἐξ ἡμῶν ϲτρατιώταϲ ρ̄. ἐμείναμεν οὖν ἐκεῖ τρώγοντεϲ τοὺϲ καρποὺϲ τῶν δένδρων.

Cap. 33.

Κἀκεῖθεν ἀπάραντεϲ ἤλθομεν εἴϲ τινα χλοερὰν χώραν, ἐν ᾗ[1]) ἦϲαν ἄνθρωποι ἄγριοι γίγαϲιν ὅμοιοι, ϲτρογγύλοι, πυρρὰϲ[2]) ὄψειϲ ἔχοντεϲ, ὡϲ λέοντεϲ φαινόμενοι. ἦϲαν δὲ καὶ ἕτεροι μετ' αὐτῶν λεγόμενοι Ὀχλῖται[3]), μὴ ἔχοντεϲ τρίχαϲ τὸ ϲύνολον, τὸ μῆκοϲ[4]) ἔχοντεϲ πήχεων[5]) τεϲϲάρων καὶ πλάτοϲ ὡϲεὶ λόγχη. καὶ ἰδόντεϲ ἔδραμον πρὸϲ ἡμᾶϲ· ἦϲαν δὲ περιεζωϲμένοι δέρματα λεόντων,

fol. 242a ἰϲχυροὶ λίαν καὶ ἑτοιμότατοι πολεμεῖν ἄνευ ὅπλων· ἡμεῖϲ δὲ ἐτύπτομεν αὐτούϲ, αὐτοὶ δὲ ξύλοιϲ ἔτυπτον ἡμᾶϲ, ὡϲ καὶ πολλοὺϲ ἀνεῖλον ἐξ ἡμῶν. ἐγὼ δὲ φοβηθεὶϲ μήπωϲ τροπώϲωνται[6]) ἡμᾶϲ ἐκέλευϲα πυρὰν ἅψαι ἐν τῇ ὕλῃ· οἱ δὲ ἰδόντεϲ τὸ πῦρ ἔφυγον οἱ ἀκμαιότατοι ἐκεῖνοι ἄνδρεϲ· ἀνεῖλον[7]) δὲ ἐξ ἡμῶν ϲτρατιώταϲ ἑκατὸν ὀγδοήκοντα.

Τῇ δὲ ἐπιούϲῃ ἡμέρᾳ ἠβουλήθην ἀπελθεῖν εἰϲ τὰ ϲπήλαια[8]) αὐτῶν καὶ εὕρομεν θηρία προϲδεδεμένα ταῖϲ θύραιϲ αὐτῶν ὡϲ λέοντεϲ· ἦϲαν δὲ τριόφθαλμοι. εἴδομεν[9]) δὲ ψύλλουϲ ἐκεῖ ὡϲ τοὺϲ παρ' ἡμῶν βατράχουϲ πηδῶνταϲ.[10]) ἐκεῖθεν δὲ ἀναχωρήϲαντεϲ ἤλθομεν εἴϲ τινα τόπον, ἐξ οὗ ἐξήρχετο πηγὴ πλουϲιωτάτη[11])· καὶ ἐκέλευϲα ἐκεῖ ϲτῆναι τὸ ἅρμα· ἐμείναμεν δὲ ἐκεῖ μῆναϲ δύο.

2) προϲχὼν 3) οἷ 4) ὁδεύϲαμεν 5) ἴδωμεν 6) πόπωτε· 7) im armenischen kanaphnito (cf. C. ἀναφνήτων) 8) πανμεγέθη, 9) πέποναϲ 10) μεγίϲτουϲ· 11) φυτοὶ (v. Zacher Pseudo-Call. p. 137) 12) ἔχοντα 13) ἔχονταϲ 14) αἱ 15) ἀγκόνεϲ 16) πρίωϲιν 17) ἰδόντα 18) ὁρμηϲαν 19) ἐξέϲτη 20) ἀνεῖλαν **33.** 1) ὧ 2) πυρὰϲ 3) armen. ochsol, v. l. ochtol, Otol. 4) μῖκοϲ 5) πήχων 6) τροπόϲονται· 7) ἀνεῖλαν 8) ϲπίλεα 9) ἴδομεν 10) πήδοταϲ 11) πλουϲιοτάτη·

Ἐκεῖθεν δὲ ἀπάραντες ἤλθομεν ἕως τῶν Μηλοφάγων καὶ εἴδομεν[9]) ἐκεῖ ἄνδρα δασὺν[12]) ὅλῳ τῷ cώματι, παμμεγέθη[13]), καὶ ἐφοβήθημεν· καὶ κελεύω αὐτὸν cυλληφθῆναι. ὁ δὲ cυλληφθεὶc ἀγρίωc ἡμᾶc κατώπτευεν.[14]) κελεύω δὲ γυναῖκα γυμνὴν προcενεχθῆναι αὐτῷ. ὁ δὲ ἁρπάcαc αὐτὴν κατήcθιεν.[15]) cυνδραμόντων (fol. 242b) δὲ τῶν cτρατιωτῶν ἐξελεῖν αὐτὴν ἐβαττάριcεν[16]) τῇ γλώccῃ αὐτοῦ. καὶ ἀκούcαντεc οἱ λοιποὶ cύντοποι αὐτοῦ ἐξῆλθον πρὸc ἡμᾶc ἐκ τοῦ ἕλουc ἄνδρεc ὡcεὶ μύριοι, τὸ δὲ cτρατόπεδον ἡμῶν ἦν μυριάδεc τέccαρεc· καὶ κελεύω ἀνάπτειν[17]) (πῦρ· οἱ δὲ ἰδόντεc) τὸ πῦρ ἔφυγον. διώξαντεc δὲ αὐτοὺc ἐκρατήcαμεν ἐξ αὐτῶν τρεῖc, οἳ καὶ μὴ μεταcχόντεc τροφῆc μέχριc ἡμερῶν ὀκτὼ ἐτελεύτηcαν. εἶχον δὲ λογιcμὸν οὐκ ἀνθρώπινον, ἀλλ᾽ ὡc οἱ κύνεc ὑλάκτουν.[18])

Cap. 36.

Ἐκεῖθεν δὲ ἀναχωρήcαντεc ἤλθομεν εἴc τινα ποταμόν. ἐκέλευcα οὖν παρεμβολὴν γενέcθαι καὶ καθοπλιcθῆναι τῇ cυνηθείᾳ τὰ cτρατόπεδα. ἦν δὲ ἐν τῷ ποταμῷ δένδρα, καὶ ἅμα τῷ[1]) ἡλίῳ[2]) ἀνατέλλοντι[3]) καὶ τὰ δένδρα ηὔξανον μέχριc ὥραc ἕκτηc, ἀπὸ δὲ ὥραc ἑβδόμηc ἐξέλειπον[4]) ὥcτε μηδ᾽ ὅλωc φαίνεcθαι. δάκρυα δὲ εἶχον ὡc Περcικὴν cτακτήν, πνοὴν δὲ πάνυ ἡδυτάτην καὶ χρηcτήν. ἐκέλευcα οὖν κόπτεcθαι τὰ δένδρα καὶ cπόγγοιc ἐκλέγεcθαι αὐτῶν τὰ δάκρυα.[5]) αἰφνίδιον[6]) δὲ οἱ ἐκλέγοντεc ἐμαcτιγοῦντο ὑπὸ δαίμονοc ἀοράτου· καὶ τῶν μὲν μαcτιγουμένων τὸν ψόφον ἠκούομεν[7]) καὶ τὰc πληγὰc ἐπὶ τῶν νώτων ἐρχομέναc ἐβλέπομεν, τοὺc (fol. 243a) δὲ τύπτονταc οὐκ ἐθεωροῦμεν. φωνὴ δέ τιc ἤρχετο λέγουcα μηδὲ ἐκκόπτειν μηδὲ cυλλέγειν· εἰ δὲ οὐ παύcηcθε[8]), γενήcεται ἄφωνον τὸ cτρατόπεδον. ἐγὼ οὖν φοβηθεὶc ἐκέλευcα μήτε ἐκκόπτειν μήτε cυλλέγειν τινὰ ἐξ αὐτῶν. ἦcαν δὲ ἐν τῷ ποταμῷ λίθοι μέλανεc· ὅcοι οὖν ἥπτοντο τῶν λίθων τούτων, τὴν ἴcην χρόαν ἐλάμβανον τοῖc λίθοιc. ἦcαν δὲ καὶ δράκοντεc πολλοὶ ἐν τῷ ποταμῷ καὶ ἰχθύων πολλὰ γένη, ἅτινα πυρὶ οὐκ ὠπτῶντο[9]), ἀλλ᾽ ἐν ὕδατι ψυχρῷ πηγαίῳ. εἷc οὖν τῶν cτρατιωτῶν λαβὼν καὶ πλύναc καὶ βαλὼν εἰc ἄγγοc ἀφῆκεν καὶ εὗρε τὸν ἰχθὺν ὠπτημένον.[10]) ἦcαν δὲ ἐν τῷ ποταμῷ ὄρνεα παρεμφερῆ[11]) τῶν παρ᾽ ἡμῖν ὀρνέων· εἴ τιc οὖν αὐτῶν ἐθίγγανε[12]), πῦρ ἐξέβαινεν ἐξ αὐτῶν.[13])

Cap. 37.

Τῇ δὲ ἐπιούcῃ ἡμέρᾳ ὡδεύcαμεν πλαζόμενοι.[1]) ἔλεγον δέ μοι οἱ ὁδηγοί· οὐκ οἴδαμεν ποῦ ὑπάγομεν, δέcποτα βαcιλεῦ Ἀλέξανδρε· ὑποcτρέψωμεν[2]) μὴ εἰc τόπουc χείροναc ἐμπέcωμεν. ἐγὼ δὲ

---

12) δαcὺ ἐν 13) πανμεγεθῆ 14) καθόπτευεν· 15) κατέcθιεν· 16) Gildem.; cod. ἐταρτάρηcεν 17) ἀναπτῆναι 18) ἠλάκτουν· **36.** 1) τοῦ 2) ἡλίου 3) ἀνατέλοντοc, 4) ἐξέλιπον 5) τῶν δακρύων· 6) αἰφνήδιον 7) ἠκούαμεν· 8) παύcητε· 9) ὀψῶντο 10) ὀψημένον· (ἑψημένον?) 11) παρεμφεροῖ· 12) ἐθήγγανε 13) αὐτοῦ· **37.** 1) πελαζόμενοι· 2) ὑποcτρέψομεν

οὐκ ἠβουλήθην ὑποστρέψαι. ὑπήντων δὲ ἡμῖν θηρία πολλὰ καὶ ἑξάποδα καὶ τριόφθαλμα καὶ πεντόφθαλμα, τὸ μῆκος ἔχοντα πήχεις δέκα, καὶ ἄλλα πολλὰ γένη θηρίων· καὶ ἃ μὲν ἀνεχώρουν fol. 243b φεύγοντα[3]), ἃ δὲ καὶ ἐφήλλοντο[4]) ἡμῖν. ἤλθομεν[5]) δὲ εἰς ἀμμώδη[6]) τινὰ τόπον, ὅθεν ἐξῆλθον θηρία ὅμοια ὀνάγρων, ἔχοντα ἀνὰ πήχεις[7]) κ', οὐκ[8]) εἶχον δὲ ἀνὰ δύο ὀφθαλμούς[9]), ἀλλὰ ἀνὰ ἕξ, τοῖς δὲ δυσὶ μόνοις ἔβλεπον. οὐκ ἦσαν δὲ μάχιμα[10]), ἀλλὰ ἤπια. καὶ ἄλλα δὲ πολλὰ κατέβαλον τόξοις οἱ στρατιῶται. ἐκεῖθεν δὲ ἀναχωρήσαντες ἤλθομεν εἴς τινα τόπον, ἔνθα ἦσαν ἄνθρωποι ἀκέφαλοι, λαλοῦντες δὲ ἀνθρωπίνως τῇ ἰδίᾳ γλώσσῃ, δασεῖς, δερματοφόροι, ἰχθυοφάγοι· θαλασσίους δὲ ἰχθῦς[11]) ἀγρεύοντες ἐκόμιζον ἡμῖν ἐκ τῆς παρακειμένης αὐτοῖς[12]) θαλάσσης, ἄλλοι δὲ ἐκ τῆς γῆς ὕδνα[13]) ἔχοντα ἀνὰ λίτρας[14]) κε'. φώκας δὲ πλείστας καὶ μεγάλας εἴδομεν[15]) ἑρπούσας ἐπὶ τῆς γῆς. πολλὰ δὲ οἱ φίλοι ἡμῶν συνεβουλεύσαντο ὑποστρέψαι, ἐγὼ δὲ οὐκ ἠβουλήθην, θέλων ἰδεῖν τὸ τέλος τῆς γῆς.

Cap. 38.

Ἐκεῖθεν οὖν ἀναλαβόντες ἔρημον ὡδεύσαμεν[1]) ἐπὶ θάλασσαν, μηκέτι μηδὲν ὁρῶντες, μήτε πετεινὸν[2]) μήτε θηρίον, εἰ μὴ τὸν οὐρανὸν καὶ τὴν γῆν· τὸν δὲ ἥλιον οὐκέτι ἐθεωροῦμεν, ἀλλὰ μαῦρον τὸν ἀέρα ἐπὶ ἡμέρας δέκα. ἐλθόντες δὲ εἴς τινα τόπον παραθαλάσσιον καὶ τὰς σκηνὰς ἡμῶν καὶ τὴν παρεμβολὴν διαθέντες ἐμείναμεν ἡμέρας πλείστας. ἦν δὲ νῆσος ἐν μέσῳ τῆς θαλάσσης ἐκείνης. ἐπιθυμίαν δὲ εἶχον τὰ ἐν ἐκείνῳ τῷ τόπῳ ἔσωθεν ἱστορῆσαι. προσέταξα δὲ κατασκευάσαι πλοιάρια πλεῖστα. ἀνῆλθον fol. 244a δὲ[3]) ἐν ἐκείνοις τοῖς πλοιαρίοις ἄνδρες ὡσεὶ χίλιοι καὶ κατεπλεύσαμεν εἰς[4]) ἐκείνην[5]) τὴν[6]) νῆσον[7]), οὐ μακρὰν δὲ οὖσαν[8]) τῆς γῆς· ἐφ' ἧς ἠκούσαμεν λαλιὰς ἀνθρώπων Ἑλληνικῇ διαλέκτῳ λεγόντων·[9])

Ὁ παῖς Φιλίππου, Αἰγύπτου δὲ τὸ σπέρμα,
κλῆσιν ἔσχηκας σημαίνουσαν[10]) τὸ μέλλον
ὑπὸ σοῦ πραχθὲν εὐτύχημα γενναίως·
ἀπὸ μήτρας γὰρ Ἀλέξανδρος ἐκλήθης·
ἤλεξας ἄνδρας ὡς τούτους ἐκδιώκων,
καὶ ἀποσοβῶν βασιλεῖς ἐξ οἰκείων·
† Ἀλεξάνδρου (Ἀλέξανδρος?) δὲ παντὸς τάχους ἐγένου, †
συμπληρουμένου σοῦ δευτέρου στοιχείου
τοῦ ὀνόματος, ὃ κλῆσιν[11]) ἔσχε λάβδα.

Καὶ τούτους μὲν τοὺς λόγους ἠκούομεν[12]), τοὺς δὲ λαλοῦντας οὐκ ἐθεωροῦμεν. τινὲς δὲ στρατιῶται παραβουλευσάμενοι κολύμβῳ

3) φενγόντες 4) ἐφ' ἐίλλοντο 5) ἤλθωμεν 6) ἀμώδη 7) πήχας 8) οὐχ 9) ὀφθαλμῶν· 10) μάχημα 11) ἰχθύ 12) αὐτῆς 13) ἤδνα 14) ἀναλύτρῶν 15) ἴδωμεν **38.** 1) ὀδεύσαμεν 2) πετηνόν· 3) ἀνελθόντα 4) ἐν 5) ἐκείνη 6) τῇ 7) νήσω· 8) οὔσης 9) λέγοντα 10) σημαίνουσα 11) κλῖσις 12) ἠκούαμεν·

διῆλθον ἀπὸ τῶν πλοίων εἰς τὴν γῆν τῆς νήσου ἱστορῆσαι, καὶ εὐθέως καρκίνοι ἐξελθόντες εἵλκυσαν αὐτοὺς εἰς τὸ ὕδωρ καὶ ἀνεῖλον. φοβηθέντες οὖν ὑπεστρέψαμεν εἰς τὴν γῆν.

Ἐξελθόντων δὲ ἡμῶν ἀπὸ τῶν πλοίων καὶ ἐκπεριπατούντων ἐπὶ τὴν ὄχθην[13]) τῆς θαλάσσης εὕρομεν καρκίνον ἐξελθόντα τοῦ ὕδατος ἐπὶ τὴν ξηράν. ἦν δὲ τὸ μέγεθος αὐτοῦ ἴσον θώρακος, οἱ δὲ ἐμπρόσθιοι πόδες οἱ λεγόμενοι χαλοὶ (χηλαί?) τὸ μῆκος ἀνὰ ὀργυίας[14]) μιᾶς ἕκαστος. ἰδόντες δὲ αὐτὸν καὶ λαβόντες δόρατα fol. 244 b ἀνείλομεν αὐτὸν μετὰ βίας· σίδηρος γὰρ οὐκ εἰσήρχετο εἰς τὸ[15]) ὄστρακον αὐτοῦ· τοῖς γὰρ ἐμπροσθίοις ποσὶν συνέτριβε τὰ δόρατα ἡμῶν. ἀνελόντες[16]) δὲ τοῦτον καὶ ἀναπτύξαντες[17]) εὕρομεν ἐντὸς τοῦ ὀστράκου αὐτοῦ μαργαρίτας ζ' μεγάλης τιμῆς ἀξίους· οὐδεὶς ἀνθρώπων τοιούτους μαργαρίτας ἑώρακεν πώποτε. τούτους ἰδὼν ἐγὼ ὑπέλαβον ἐν τῷ τῆς ἀπλεύστου θαλάσσης (βυθῷ) ταῦτα γενέσθαι. ὅθεν ὑπενόησα κλωβὸν[18]) σιδηροῦν[19]) μέγαν γενέσθαι καὶ ἔνδοδεν τοῦ κλωβοῦ[20]) ἐπενεχθῆναι αὐτῷ πίθον[21]) ὑέλινον[22]) παμμεγέθη ἔχοντα πάχει[23]) ἕνα[24]) πῆχυν καὶ ἥμισυ, καὶ ἐκέλευσα γενέσθαι ἐν τῷ πυθμένι[25]) τοῦ πίθου[26]) τρυμαλιάν[27]), ὡς χωρεῖν[28]) τοῦ ἀνθρώπου τὴν χεῖρα, βουλόμενος κατελθεῖν καὶ ἀναμαθεῖν τί ἐστιν ἐν τῷ πυθμένι[29]) τῆς τοιαύτης θαλάσσης· ἔχειν δὲ κεκλεισμένην ἔνδοθεν[30]) τῆς τρυμαλιᾶς[31]) τὴν ὀπὴν τὴν οὖσαν ἐν τῷ πυθμένι[29]) τοῦ πίθου[26]), κατελθόντα δέ με εὐθέως ἀνοῖξαι[32]) ἐξάγειν[33]) τε διὰ τρυμαλιᾶς[31]) τὴν χεῖρα καὶ λαβεῖν ἐκ τῆς παρακειμένης αὐτοῦ[34]) ψάμμου τὸ εὑρεθὲν ἐν τῷ πυθμένι[29]) τῆς τοιαύτης θαλάσσης καὶ πάλιν εἰσενεγκεῖν τὴν χεῖρα καὶ παραχρῆμα ἐμφράξαι τὴν τρυμαλιάν.[27]) ὃ καὶ πεποίηκα. ἐκέλευσα οὖν γενέσθαι ἅλυσιν[35]) ὀργυιῶν[36]) τη' καὶ προσέταξα μή τις[37]) ἀνελκύσῃ με[38]) πρὶν ἢ ἡ ἅλυσις[39]) ταραχθῇ· fol. 245 a ἐγὼ γὰρ κατελθὼν ἐν τῷ πυθμένι[29]) εὐθὺς ταράξω[40]) τὸν πίθον[21]), καὶ ὑμεῖς ἀναγάγετέ[41]) με. μετὰ οὖν τὸ κατασκευάσαι πάντα εἰσῆλθον ἐν τῷ ὑαλίνῳ[42]) πίθῳ[43]) βουλόμενος ἐπιχειρεῖν ἀδύνατα. εἰσελθὼν οὖν διὰ μολυβδίνου[44]) σκεύους εὐθὺς ἐκλείσθη ἡ εἴσοδος.[45]) κατελθὼν δὲ πήχεις[46]) ρκ' ἰχθὺς διελθὼν διὰ τῆς κέρκου κρούσας τὸν κλωβόν[18]), ἀνήγαγόν με διὰ (τὸ) τὴν ἅλυσιν[35]) ταραχθῆναι. ἐγὼ δὲ πάλιν (κατελθὼν) τὸ αὐτὸ πέπονθα τρίς. καὶ κατελθὼν ὡσεὶ πήχεις[46]) τη' ἔβλεπον ἰχθύας περικυκλώσαντάς[47]) με πάμπολλα[48]) γένη. καὶ ἰδοὺ ἐλθὼν παμμεγεθέστατος ἰχθὺς ἔλαβέν[49]) με σὺν τῷ κλωβῷ[50]) ἐν τῷ στόματι αὐτοῦ καὶ ἀνήγαγέ με ἐπὶ τὴν γῆν μακρόθεν, μίλιον ἕν. ἦσαν δὲ[51]) ἐν τοῖς πλοίοις οἱ καταγαγόντες με ἄνδρες τξ' καὶ πάντες εἵλκυσαν ἐν τοῖς τέσσαρσι πλοιαρίοις. φθά-

---

13) ὄχθαν 14) οὐργίας 15) τὸν 16) ἀνελόντα 17) ἀπὸπτήξαντες· 18) κλοβὸν 19) σιδηρὸν 20) κλοβου 21) πῦθον 22) ὑέλλινον 23) πάχοι 24) μίαν 25 πιθμένι 26) πύθου 27) τριμαλίαν 28) χωροῦν 29) πιθμένη 30) ἔδοθεν 31) τριμαλιᾶς 32) ἀνῆλξε· 33) ἐξάγει 34) αὐτῆς 35) ἅλυσον 36) οὐργίας 37) μηδέν 38) μαι 39) ἅλυσος 40) ταράξαι 41) ἀναγάγεταί 42) ὑαλλίνω 43) πύθω· 44) μολιβδύνου 45) εἴοδος· 46) πῆχας 47) περικυκλώσαντές 48) πάμπολα 49) ἔλαβόν 50) κλοβῷ 51) γὰρ

cac δὲ [τὴν κλωβὸν[18]) ἐπὶ τὴν ξηρὰν] καὶ τοῖc[52]) ὀδοῦcιν[53]) αὐτοῦ τὴν κλωβὸν[18]) cυντρίψαc ἔρριψεν ἐπὶ τὴν ξηράν. ἐγὼ δὲ ἐγενόμην ἡμίπνουc[54]) καὶ νενεκρωμένοc[55]) ἀπὸ τοῦ φόβου καὶ πεcὼν προcεκύνηcα τῇ ἄνω προνοίᾳ τῇ διαφυλαξάcῃ[56]) με ζῶντα ἀπὸ τοῦ φοβεροῦ θηρίου. εἶπον δὲ εἰc ἐμαυτόν· ἀπόcτα, Ἀλέξανδρε, ἀδυνάτοιc ἐπιχειρεῖν[57]), μήπωc ἀνιχνεύων[58]) βυθὸν cτερηθῇc[59]) fol. 245[b] καὶ τοῦ ζῆν. καὶ εὐθὺc προcέταξα τὸν cτρατὸν ἐκεῖθεν ἀπᾶραι καὶ ἐπὶ τὰ[60]) ἔμπροcθεν πορεύεcθαι.

Cap. 39.

Καὶ πάλιν ὁδεύcαντεc ἤλθομεν διὰ δύο ἡμερῶν εἰc τόπουc ὅπου ἥλιοc οὐ λάμπει. ἐκεῖ οὖν ἐcτιν ἡ καλουμένη μακάρων χώρα. καὶ θέλοντόc μου ἱcτορῆcαι καὶ ἰδεῖν τοὺc τόπουc ἐκείνουc ἐπεχείρηcα λαβεῖν τοὺc ἰδίουc μου δούλουc καὶ εἰcελθεῖν πρὸc αὐτούc. Καλλιcθένηc δὲ ὁ ἐμὸc φίλοc cυνεβούλευcέ μοι εἰcελθεῖν cὺν φίλοιc μ' καὶ παιcὶν ἑκατὸν καὶ cτρατιώταιc[1]) ͵αc' μόνοιc γνηcίοιc. καταλείψαc οὖν τὸν πεζὸν λαὸν μετὰ τῶν γερόντων καὶ τῶν γυναικῶν αὐτὸc [οὖν] παραλαβὼν πάνταc νέουc cτρατιώταc ἐκλεκτοὺc ἐπορεύθην cὺν αὐτοῖc, παραγγείλαc μὴ cυμπορευθῆναι μεθ' ἡμῶν γέροντα. εἰc δέ τιc γέρων περίεργοc ἔχων δύο υἱοὺc γενναίουc καὶ ἀληθεῖc cτρατιώταc λέγει[2]) πρὸc αὐτούc· τεκνία, ἀκούcατε τῆc φωνῆc τοῦ πατρὸc ὑμῶν καὶ λάβετέ με μεθ' ὑμῶν, καὶ οὐχ[3]) εὑρεθήcομαι ὑμῖν κενὸc ἐν τῇ ὁδῷ· ἰδοὺ γὰρ ἐν καιρῷ περιcτάcεωc ζήτηcιc μέλλει γενέcθαι (γέροντοc) παρ' Ἀλεξάνδρου τοῦ βαcιλέωc. εἰ οὖν εὑρεθῆτέ με ἔχοντεc[4]), μεγάλωc τιμηθήcεcθε. οἱ δὲ λέγουcιν αὐτῷ· φοβούμεθα, πάτερ, τὴν ἀπειλὴν τοῦ βαcι- fol. 246[a] λέωc, μήπωc εὑρεθῶμεν παραβάντεc τὸ πρόcταγμα αὐτοῦ καὶ cτερηθῶμεν[5]) † ἐπὶ τῇ cτρατιῶ † καὶ τοῦ ζῆν. ὁ δὲ γέρων· ἀναcτάντεc κείρατέ μου τὸν πώγωνα[6]) καὶ ἀλλάξαcθε[7]) τὸ cχῆμα καὶ πορεύcομαι μεθ' ὑμῶν[8]) ἀνὰ μέcον τοῦ cτρατοῦ καὶ ἐν καιρῷ δέοντι[9]) μεγάλωc ὑμᾶc ὠφελήcω.[10]) οἱ δὲ ἐποίηcαν τὸ κελευcθὲν ὑπὸ τοῦ πατρὸc αὐτῶν. ἐκεῖθεν οὖν ὁδεύcαντεc ἡμέραc γ' εὕρομεν τόπον ὁμιχλοειδῆ. μὴ δυναμένων δὲ ἡμῶν πορρωτέρω[11]) προβῆναι διὰ τὸ ἄβατον καὶ ἀcτίβητον[12]) τὸν τόπον εἶναι, ἐπήξαμεν ἐκεῖ τὰc cκηνὰc ἡμῶν. τῇ δὲ ἐπιούcῃ λαβὼν χιλίουc ἐνόπλουc εἰcῆλθον μετ' αὐτῶν ἱcτορῆcαι, μήπωc ἐνταῦθά ἐcτιν τὸ τέλοc τῆc γῆc. εἰcελθόντεc οὖν ἐν τοῖc ἀριcτεροῖc μέρεcιν, ἦν γὰρ ἐκεῖνο τὸ μέροc φωτεινότερον, ὡδεύcαμεν[13]) τόπουc πετρώδειc καὶ κρημνώδειc[14]) ἕωc ἡμέραc ἡμίcουc· τοῦτο δὲ ἐκ τοῦ ἡλίου οὐκ ἐπέγνων[15]), [τὴν ὁδόν·] ἀλλὰ cχοίνοιc[16]) μετρῶν κατὰ τὴν γεωμετρίαν

52) τοὺc 53) ὀδόνταc 54) ἡμήπνουc 55) νενεκρομένοc 56) διαφυλαξάcει 57) ἐπιχειροῖν· 58) ἀνιχνεῦον 59) cτεριθεὶc 60) τοῖc

39. 1) cτρατιώταc 2) λέγων 3) οὐκ 4) ἔχοντα 5) ὑcτερηθῶμεν 6) πώγονα 7) ἀλλάξαcθαι 8) ἡμῶν 9) δέοντοc (δὲ ὄντοc) 10) ὀφελήcω· 11) παρ' ἑτέρω 12) ἀcτείβητον 13) ὀδεύcαμεν 14) κρυμνώδειc· 15) ἐπέγνω 16) cχοίνουc

ἐπέγνων[15]) τὴν ὁδὸν καὶ τὴν ὥραν. μετὰ δὲ ταῦτα φοβηθέντες ὑπεστρέψαμεν διὰ τὸ τὴν ὁδὸν ἄβατον εἶναι. ἐξελθόντες δὲ ἠβουλήθημεν ἐν τοῖς δεξιοῖς μέρεσιν. ἦν δὲ πεδίον λίαν ὁμαλόν, πλὴν ζοφῶδες καὶ σκοτεινόν. ἐγὼ δὲ ἐν ἀμηχανίᾳ ἐγενόμην, ὅτι οὐδεὶς τῶν νέων συνεβούλευσέ μοι εἰσελθεῖν ἐν τῷ τόπῳ ἐκείνῳ, μήποτε [γὰρ] τῶν ἵππων (διὰ τοῦ σκότους) καὶ τῆς μακρᾶς ὁδοῦ διασκορπισθέντων οὐ δυνάμεθα ὑποστρέψαι. ἐγὼ δὲ εἶπον πρὸς αὐτούς· ὦ γενναῖοι πάντες ὑμεῖς ἐν πολέμῳ, νῦν ἐγνώκατε ὅτι ἄνευ βουλῆς[17]) καὶ συνέσεως οὐδέν ἐστιν γενναιότατον· εἰ γὰρ ἦλθεν γηραιός, συνεβούλευσεν ἂν ἡμῖν πῶς δεῖ εἰσελθεῖν ἐν τῷ ζοφώδει[18]) τούτῳ[19]) τόπῳ. ἀλλ' οὖν τίς ἐν ὑμῖν γενναῖος, ὃς ἀπελθὼν ἐν τῇ παρεμβολῇ ἐνέγκῃ[20]) μοι γέροντα; καὶ παρ' ἐμοῦ λήψεται χρυσοῦ λίτρας[21]) δέκα. οὐδεὶς οὖν εὑρέθη τοῦτο ποιῆσαι διὰ τὸ τῆς ὁδοῦ μῆκος καὶ διὰ τὸ τὸν ἀέρα ἀφεγγῆ εἶναι. προσελθόντες οὖν οἱ υἱοὶ τοῦ γέροντος λέγουσί μοι· ἐὰν ἀνεξικάκως ἀκούσῃς, δέσποτα, ἐροῦμεν (τὶ) πρὸς σέ. κἀγὼ δέ· εἴπατε ὅ τι δ'[22]) ἂν βούλησθε.[23]) ὄμνυμι[24]) γὰρ τὴν ἄνω πρόνοιαν τοῦ μὴ ἀδικῆσαι ὑμᾶς. οἱ δὲ εὐθέως διηγήσαντό μοι τὰ περὶ τοῦ πατρὸς αὐτῶν καὶ ποδαπῶς ἤγαγον αὐτόν, καὶ δραμόντες παρέστησαν αὐτὸν τὸν γέροντα. ἐγὼ δὲ ἰδὼν κατησπασάμην αὐτὸν καὶ βουλὴν ᾔτουν δοθῆναι ἡμῖν. ὁ δὲ γέρων λέγει· Ἀλέξανδρε βασιλεῦ, ἔξεστίν σοι τοῦτο γνῶναι, ὅτι εἰ μὴ[25]) μεθ' ἵππων εἰσέλθῃς οὐκέτι τὸ φῶς ὄψει. ἐπίλεξαι οὖν ἵππους θηλείας[26]) ἐχούσας πώλους· καὶ τοὺς μὲν πώλους ἔασον[27]) ἐνταῦθα, ὑμεῖς δὲ εἰσέλθετε[28]) μετὰ τῶν ἵππων, καὶ αὗται[29]) ἐξάξουσιν ὑμᾶς[30]) διὰ τοὺς αὐτῶν πώλους. ζητήσας οὖν ἐν παντὶ τῷ στρατῷ οὐχ εὕρομεν εἰ μὴ[25]) ρʹ ἵππους θηλείας[26]) ἐχούσας πώλους. λαβὼν οὖν ταύτας καὶ ἑτέρους ἵππους ρʹ ἐπιλέκτους, ὁμοίως καὶ ἑτέρους ἵππους βαστάζοντας τὰ πρὸς τὴν χρείαν, εἰσήλθομεν κατὰ τὴν βουλὴν τοῦ γέροντος, καὶ ἐάσαμεν τοὺς πώλους ἔξω.

fol. 246b

fol. 247a

Ὁ δὲ γέρων παρήγγειλεν τοῖς υἱοῖς αὐτοῦ, ὅ τι δ'[31]) ἂν εὕρωσιν μετὰ τὸ εἰσελθεῖν ἐπὶ τῆς γῆς κείμενον συλλέγειν αὐτὰ καὶ βαλεῖν ἐπὶ τοῖς μαρσίποις αὐτῶν. εἰσῆλθον οὖν τριακόσιοι ἑξήκοντα στρατιῶται (καὶ) ἐκέλευσα προπορεύεσθαι τοὺς ἑξήκοντα πεζούς. καὶ οὕτως εἰσήλθομεν ὁδὸν ὡσεὶ σχοίνους[32]) ιεʹ καὶ εὕρομεν τόπον καὶ ἦν ἐν αὐτῷ πηγὴ διαυγής, ἧς τὸ ὕδωρ ἤστραπτεν ὡς ἀστραπή, καὶ ἕτερα πλεῖστα ὑδάτων. ἦν δὲ καὶ ὁ ἀὴρ τοῦ τόπου ἐκείνου εὐώδης, καὶ οὐ πάνυ σκοτεινόν. πρόσπεινος δὲ γενόμενος ἠθέλησα δέξασθαι ἄρτον, καὶ καλέσας τὸν μάγειρον ['Ανδρέαν ὀνόματι[33])] εἶπον αὐτῷ· εὐτρέπισον ἡμῖν προσφάγιον.[34])

---

17) βούλου (συμβούλου?) 18) ζοφώδη 19) τοῦτο 20) ἐνέγκει 21) λύτρας 22) εἰ τιδ' 23) βούλεσθαι· 24) ὤμνημοι 25) μί 26) θηλίας — am ende der seite bemerkt: καὶ ἐν ἑτέρῳ λόγῳ· ὄνους θηλίας ἐχούσας πωλάρια εἰς τὴν παρεμβολὴν τῶν φωσάτων (oder τοῦ φουσάτου?) παρακρατηθῆναι· 27) ἔασας 28) εἰσέλθατε 29) αὐται 30) ἡμᾶς· 31) ἤ τοιδ' 32) σχοινίους 33) ὀνόμτϊ die eingeklammerten worte von gleichzeitiger hand am rande bemerkt. 34) προσφάγειον·

ὁ δὲ τάριχον λαβὼν ἐπορεύθη ἐπὶ τὸ διαυγὲς ὕδωρ τῆς γῆς πλῦ-
fol. 247b ναι τὸ ἔδεσμα. καὶ εὐθέως βραχὲν ἐν τῷ ὕδατι ἐψυχώθη καὶ ἔφυγε τὰς χεῖρας τοῦ μαγείρου. ἐκεῖνος δὲ φοβηθεὶς οὐκ ἀνήγγειλέ μοι τὸ γεγονός[35])· αὐτὸς δὲ λαβὼν ἐξ αὐτοῦ τοῦ ὕδατος ἔπιεν καὶ ἔλαβεν ἐν σκεύει τινὶ ἀργυρῷ καὶ ἐφύλαξεν· ἦν γὰρ πᾶς ὁ τόπος βρύων ὕδατα πολλά, ἐξ ὧν ὑδάτων πάντες ἐπίομεν.[36]) ὢ τῆς ἐμῆς δυστυχίας[37]), ὅτι οὐκ ἔκειτό μοι πιεῖν ἐκ τῆς ἀθανάτου ἐκείνης πηγῆς τῆς ζωογονούσης τὰ ἄψυχα, ἧς ὁ ἐμὸς μάγειρος τετύχηκεν.

Cap. 40.

Μετὰ δὲ τὸ λαβεῖν βρώσεως ἀναστάντες ὡδεύσαμεν[1]) ὡσεὶ σχοίνους σλ′ πλεῖον ἢ ἔλαττον· λοιπὸν ὡδεύσαμεν ἰδόντες αὐτὴν[2]) ἄνευ ἡλίου καὶ σελήνης καὶ ἄστρων. καὶ εἶδον δύο ὄρνεα πετόμενα[3]) καὶ μόνον ἔχοντα ὄψεις ἀνθρωπίνας, Ἑλληνικῇ (δὲ) διαλέκτῳ ἐκραύγαζον· τί χώραν πατεῖς, Ἀλέξανδρε, τὴν θεοῦ μόνου; ἀνάστρεφε, δείλαιε, ἀνάστρεφε· μακάρων νήσους πατεῖν οὐ δυνήσει. ἀνάστρεψον, ἄνθρωπε, καὶ τὴν δεδομένην σοι γῆν πάτει καὶ μὴ κόπους πάρεχε σεαυτῷ. σύντρομος δὲ γενόμενος κάλλιστα ὑπήκουσα τῇ φωνῇ ὑπὸ τῶν ὀρνέων μοι δεδομένῃ.[4]) τὸ δὲ ἕτερον ὄρνεον πάλιν ἐφθέγξατο Ἑλληνικῇ διαλέκτῳ· ἐγκαλεῖταί (ἐκκα-
fol. 248a λεῖταί?) σε, φησίν, ἡ ἀνατολὴ καὶ ἡ Πώρου βασιλείᾳ νίκῃ[5]) ὑποταγήσεταί σοι. καὶ ταῦτα εἰπὸν[6]) τὸ ὄρνεον ἀνέπτη.[7]) ἐγὼ δὲ ἐξιλεωσάμενος καὶ † κρατῶν τὸν ὁδηγόν, τὰς ἵππους ἔμπροσθεν βαλόντες, † πάλιν κατὰ τὴν ἅμαξαν τῶν ἀστέρων δι' ἡμερῶν κβ′ ἐξήλθομεν πρὸς τὴν φωνὴν τῶν πώλων καὶ τῶν μητέρων αὐτῶν. πολλοὶ οὖν τῶν στρατιωτῶν ἐβάστασαν ἕκαστος ὃ εὗρε. ἐξαιρέτως δὲ οἱ τοῦ γέροντος υἱοὶ ἔπλησαν τοὺς μαρσίπους αὐτῶν κατὰ τὴν τοῦ πατρὸς αὐτῶν παραγγελίαν.

Cap. 41.

Καὶ ἐξελθόντων ἡμῶν πρὸς τὸ φῶς εὑρέθησαν χρυσίον δόκιμον λαβόντες καὶ μαργαρίτας μεγάλους τιμῆς ἀξίους. τοῦτο δὲ ἰδόντες μετεμελήθησαν οἱ μὲν λαβόντες ὅτι μὴ πλέον ἔλαβον, οἱ δὲ μὴ λαβόντες ὅτι οὐκ ἔλαβον. ὑπερευχόμεθα οὖν πάντες τῷ γέροντι τῷ δόντι ἡμῖν τοιαύτην βουλήν.

Μετὰ δὲ τὸ ἐξελθεῖν ἡμᾶς διηγήσατο ὁ μάγειρος τὸ[1]) συμβὰν αὐτῷ ἐπὶ τῆς πηγῆς. ἐγὼ δὲ τοῦτο[2]) ἀκούσας συνεσχέθην[3]) λύπῃ καὶ τοῦτον δεινῶς ἐκόλασα. ὁ μὲν (οὖν) εἶπεν[4]) πρὸς ἐμαυτόν· τί σοι τὸ ὄφελος, Ἀλέξανδρε, μεταμεληθῆναι[5]) ἐπὶ πράγματι πα-

35) γεγονώς· 36) ἐπίωμεν· 37) δυστιχείας **40.** 1) ὀδεύσαμεν 2) αὐτήν 3) πετώμενα 4) δεδομένην· 5) νίκη 6) εἰπών 7) ἀνέπτησεν· *) der armenischen übersetzung liegt etwa folgender griechische text zu grunde: καὶ λαβόντες οὖν ὁδηγὸν τὸν ἀστέρα τὸν ἐπὶ τῷ πόλῳ οὕτως ἐξήλθομεν κτλ. **41.** 1) τῷ 2) τούτω 3) συνεχέ (θ über χ) τῇ 4) εἶπον 5) μεταμεληθεὶς

ρελθόντι; οὐκ ᾔδειν[6]) δὲ ὅτι ἐκ τοῦ ὕδατος ἔπιεν ἢ ὅτι ἐφύλαξεν· τοῦτο γὰρ οὐχ[7]) ὡμολόγησεν[8]), εἰ μὴ[9]) ὅτι ἐψυχώθη τὸ τάριχος.[10]) προσελθὼν δὲ ὁ μάγειρος τῇ ἐμῇ θυγατρὶ τῇ[11]) ἐκ τῆς παλλακῆς[12]) fol. 248 b Οὔννας[13]) ὀνόματι Καλῇ[14]) ἐπλάνησεν καί τι ὑποσχόμενος[15]) αὐτῇ[16]) δοῦναι ἐκ τῆς ἀθανάτου πηγῆς· ὃ καὶ πεποίηκεν. ἐγὼ δὲ τοῦτο μαθὼν — ἐρῶ τὸ ἀληθές — ἐφθόνησα[17]) τῇ ἀθανασίᾳ αὐτῶν. καὶ τὴν ἐμὴν θυγατέρα[18]) προσκαλεσάμενος εἶπον αὐτῇ· λαβοῦσά[19]) σου τὸν ἱματισμὸν ἔξελθε τοῦ προσώπου μου· ἰδοὺ γὰρ γέγονας δαίμων ἀπαθανατισθεῖσα.[20]) Καλὴ μὲν τῷ ὀνόματι[21]) ἐκλήθης· ἀρτίως δὲ καλέσω σε Καλὴν τῶν ὀρέων, ὅτι ἐν αὐτοῖς τοῦ λοιποῦ κατοικήσεις[22])· ἔσῃ[23]) δὲ κεκλημένη Νηραΐδα[24]), ὡς ἐκ τοῦ νηροῦ[25]) τὰ ἴδια δεξαμένη, τουτέστιν τὰ ἀθάνατα. καὶ ταῦτα εἰπὼν προσέταξα[26]) τοῦ λοιποῦ μὴ οἰκεῖν ἐν ἀνθρώποις, ἀλλ' ἐν τοῖς ὄρεσιν. ἡ δὲ κλαίουσα καὶ ὀδυρομένη ἐξῆλθε τοῦ προσώπου μου καὶ ἀπῆλθεν οἰκῆσαι μετὰ δαιμόνων ἐν ἐρήμοις τόποις. τὸν δὲ μάγειρον προσέταξα δεθῆναι μύλον ἐν τῷ τραχήλῳ αὐτοῦ καὶ ῥῖψαι αὐτὸν ἐν τῇ θαλάσσῃ. ὁ δὲ ῥιφεὶς[27]) ἐγένετο δαίμων καὶ ἀπελθὼν κατῴκησεν ἔν τινι τόπῳ τῆς θαλάσσης, ἀφ' οὗ καὶ τὸ ὄνομα ἐκλήθη Ἀνδρέας. καὶ ταῦτα μὲν περὶ τοῦ ἐμοῦ μαγείρου καὶ τῆς ἐμῆς θυγατρός. ἐγὼ δὲ ὑπέλαβον[28]) διὰ πάντων τούτων, ὅτι ἐνταῦθά ἐστι τὸ τέλος τῆς γῆς. προσέταξα δὲ κτισθῆναι ἀψῖδα ἐν τῷ τόπῳ fol. 249 a ἐκείνῳ μεγίστην καὶ γράψαι διὰ γλυφίδος οὕτως· οἱ βουλόμενοι εἰσελθεῖν ἐν τῇ μακάρων χώρᾳ, δεξιᾷ πορεύεσθε[29]), μήποτε ἀπόλησθε.[30])

Πάλιν οὖν διενοήθην ἐν ἑαυτῷ λέγων εἰ πάντως[31]) ἐνταῦθά ἐστιν τὸ τέρμα τῆς γῆς καὶ ὁ οὐρανὸς ἐνταῦθα κλίνεται. ἠβουλήθην οὖν ἱστορῆσαι τὴν ἀλήθειαν. προσέταξα οὖν συλληφθῆναι ἐκ (τῶν ὀρνέων) τοῦ τόπου ἐκείνου δύο. ἦσαν γὰρ ὄρνεα μέγιστα λευκά, ἀλκιμώτατα πάνυ καὶ ἥμερα· βλέποντα γὰρ ἡμᾶς οὐκ ἔφευγον. τινὲς δὲ τῶν στρατιωτῶν ἐπέβαινον τοῖς τραχήλοις αὐτῶν, καὶ ἀνέπτοντο[32]) βαστάζοντες αὐτούς. ἐσθίουσιν[33]) δὲ θῆρας ἀγρίας, ἔνθεν καὶ πλεῖστοι τῶν τοιούτων ὄρνεων[34]) ἦλθον πρὸς ἡμᾶς διὰ τοὺς θνήσκοντας ἵππους. δύο οὖν ἐξ αὐτῶν κρατήσας προσέταξα μέχρις ἡμερῶν τριῶν μὴ δοθῆναι αὐτοῖς[35]) βρῶσιν. τῇ δὲ τρίτῃ ἡμέρᾳ προσέταξα κατασκευασθῆναι ξύλον ὅμοιον ζυγῷ καὶ . . . .*) (καὶ) ταύτην[36]) προσδεθῆναι ἐν μέσῳ[37]) τοῦ ζυγοῦ· ταύτην δὲ κατεσκεύασα ὥσπερ σπυρίδα[38]), κρατῶν δύο δόρη[39]) ὡσεὶ ἑπτὰ πηχῶν τὸ μῆκος καὶ ἔχοντα ἐπάνω ἧπαρ ἵππων.[40]) εὐθὺς οὖν

6) εἴδην 7) οὐκ 8) ὁμολόγησεν· 9) μι 10) τάριχον 11) τὴν 12) παλακῆς 13) οὖν νας (dazwischen scheinen 2 buchstaben zu fehlen) 14) καλὴν 15) ὑποσχώμενος 16) αὐτῆς 17) ἐφθώνησα 18) θυγατέραν 19) λαβῶν 20) ἀπαθανατηθεῖσοι· 21) ὀνόμτι 22) κατοικήσης· 23) ἔσυ 24) νεραΐδα· 25) νεροῦ 26) προσέταξεν 27) ῥιφῆς 28) ὑπέλαβα 29) πορεύεσθαι· 30) ἀπωλεῖσθαι· 31) πάντος 32) ἀνήπτοντο (ἀνίπταντο?) 33) ἐσθίουσαν 34) ὀρνέων 35) αὐτὰ *) ein wort oder einige ausgefallen. 36) ταῦτα 37) μέσον 38) σπυρῖδα· 39) δόρυ 40) ἱππέων

ἀνέπτη τὰ ὄρνεα τοῦ καταφαγεῖν[41]) τὸ ἧπαρ καὶ ἀνῆλθον[42]) μετ' fol. 249b αὐτῶν ἐν τῷ ἀέρι[43]), ὡϲ νομίζειν με πληϲίον τοῦ οὐρανοῦ ὑπάρχειν. ὅλωϲ δὲ ἔτρεμον[44]) διὰ τὴν ὑπερβάλλουϲαν[45]) τοῦ ἀέροϲ ψυχρότητα ἐκ[46]) τῶν πτερύγων τῶν ὀρνέων γεγενημένην. εἶτα ϲυναντᾷ με πετεινὸν ἀνθρωπόμορφον καὶ λέγει πρόϲ με· ὦ Ἀλέξανδρε, ὁ τὰ ἐπίγεια μὴ καταλαβὼν τὰ ἐπουράνια ἐπιζητεῖϲ; ὑπόϲτρεφε οὖν διὰ τάχουϲ ἐπὶ τῆϲ γῆϲ, μήπωϲ τοῖϲ ὀρνέοιϲ τούτοιϲ βρῶμα γενήϲῃ.[47]) καὶ πάλιν φηϲὶ πρόϲ με· πρόϲϲχεϲ[48]), Ἀλέξανδρε, ἐπὶ τὴν γῆν κάτω. ἐγὼ δὲ μετὰ φόβου προϲϲχὼν[49]) καὶ ἰδὼν καὶ ἰδοὺ ὄφιϲ μέγαϲ κύκλῳ καὶ μέϲον τοῦ ὄφεωϲ ἅλωνα ϲμικροτάτην. καὶ λέγει μοι ὁ ϲυναντήϲαϲ[50]) μοι· ἐπίϲτρεψον οὖν τὸ δόρυ ἐπὶ τὴν ἅλωνα, ἥτιϲ[51]) ἐϲτὶν ὁ κόϲμοϲ· ὁ γὰρ ὄφιϲ ἡ θάλαϲϲα [ἦν*] ἡ κυκλοῦϲα τὴν γῆν. ἐγὼ δὲ ὑποϲτρέψαϲ βουλήϲει τῆϲ ἄνω προνοίαϲ κατῆλθον ἐπὶ τῆϲ γῆϲ μακρόθεν τοῦ ϲτρατοπέδου ἡμερῶν ζ'· ἤμην[52]) δὲ εἰϲ τέλοϲ νενεκρωμένοϲ καὶ ἡμίθνητοϲ (ἡμιθνήϲ?). εὗρον δὲ ἐκεῖ ϲατράπην ὑπὸ τὴν ἐμὴν ἐξουϲίαν (καὶ) λαβὼν παρ' αὐτοῦ τριακοϲίουϲ ἱππεῖϲ ἦλθον εἰϲ τὸ ϲτρατόπεδον. οὐκέτι οὖν προϲεθέμην ἀδύνατα ἐπιχειρεῖν. ἔρρωϲο.[53])

41) καταϲφαγεῖν 42) ἀνῆλθα 43) ἀέρει· 44) ἔτρεμα 45) ὑπερβάλουϲαν 46) καὶ 47) γενήϲει· 48) πρόϲχεϲ 49) προϲχὼν 50) ϲυναντίϲαϲ 51) εἴτιϲ *) ἦν? 50) εἶμην 51) ἔρρωϲον:·

ΒΙΒΛΙΟΝ Γ΄.

Cap. 1.

Μετὰ δὲ ταῦτα πάντα τὴν ὁδοιπορίαν ἐποιεῖτο Ἀλέξανδρος, ἀναλαβὼν τὴν δύναμιν αὐτοῦ, πρὸς Πῶρον βασιλέα τῶν Ἰνδῶν. πολλὴν[1]) οὖν ἔρημον ὁδεύσαντες καὶ τόπους ἀνύδρους καὶ φαραγ- fol. 250ª γώδεις ἔλεγον οἱ ἔξαρχοι τῶν στρατευμάτων πρὸς τὰ στρατόπεδα· ἀρκετὸν ἡμῖν μέχρι Περσίδος ποιήσασθαι τὸν πόλεμον καὶ ὑποτάξαι τὸν Δαρεῖον ὡς ἀπαιτοῦντα τοὺς Ἕλληνας φόρους· τί οὖν κάμνομεν[2]) πορευόμενοι πρὸς Ἰνδούς, πρὸς θηριώδεις τόπους μὴ προσήκοντας τῇ Ἑλλάδι; ἐὰν Ἀλέξανδρος τῇ ἰδίᾳ μεγαλοφροσύνῃ πολεμιστὴς[3]) τυγχάνῃ[4]) καὶ θέλῃ[5]) ὑποτάσσειν βαρβάρων ἔθνη, τί αὐτῷ ἡμεῖς ἀκολουθοῦμεν; πορευέσθω μόνος καὶ πολεμείτω. ἀκούσας δὲ ταῦτα Ἀλέξανδρος διαχωρίσας[6]) τὸ Περσικὸν στράτευμα καὶ (τὸ) τῶν Μακεδόνων καὶ ἄλλων Ἑλλήνων, εἶπε πρὸς τοὺς Μακεδόνας καὶ Ἕλληνας· ἄνδρες συστρατιῶται καὶ σύμμαχοι Μακεδόνες καὶ πάντες οἱ τῶν Ἑλλήνων δυνάσται· οὗτοι γὰρ οἱ Πέρσαι πολέμιοι ὑμῶν εἰσι καὶ ἐμοῦ· * * καὶ νῦν τί διαγογγύζετε; διετάξατέ[7]) με μόνον πορεύεσθαι πρὸς τὸν πόλεμον καὶ πολεμεῖν βαρβάροις. τοῦτο μέντοι ὑμᾶς ὑπομνήσω, ὅτι ὡς[8]) κἀκείνους τοὺς πολέμους μόνος ἐγὼ ἐνίκησα, καὶ ὅσους βούλομαι λαβεῖν τῶν βαρβάρων[9]) πάλιν μόνος νικήσω· ἐμοῦ γὰρ ἓν βούλημα πρὸς τὸν fol. 250ᵇ πόλεμον τὰς ψυχὰς ὑμῶν[10]) πάντων ἐθεράπευσε ἤδη[11]) ἀδρανούντων[12]) πρὸς τὰ Δαρείου πλήθη. οὐκ ἐγὼ πρῶτος τῆς στρατείας ἐν τοῖς πολέμοις ὑπερήσπιζον, οὐκ ἐγὼ ἐμαυτοῦ ἄγγελος εἰσῆλθον πρὸς Δαρεῖον; οὐ παρεβουλευσάμην τρὶς κινδύνοις; εἶτα δὲ βουλεύσασθε καὶ πορεύεσθε εἰς Μακεδονίαν μόνοι καὶ διασώσατε ἑαυτοὺς καὶ μὴ ἀμφιεβητήσητέ τι εἰς ἀλλήλους, ἵνα[13]) μάθητε ὡς οὐδὲν δύναται στρατεία δίχα φρονήσεως βασιλέως. καὶ οὕτως εἰπόντος τοῦ Ἀλεξάνδρου ἱκέτευον αὐτὸν λῆξαι τῆς ὀργῆς, ἔχειν δὲ αὐτοὺς ἕως τέλους μεθ᾽ ἑαυτοῦ.

Cap. 2.

Καὶ παραγενομένου (αὐτοῦ) σὺν πάσῃ τῇ δυνάμει αὐτοῦ εἰς τοὺς ὅρους τῆς Ἰνδικῆς χώρας ὑπήντησαν αὐτῷ γραμματηφόροι[1])

III. **1.** 1) πολὴν 2) κάμνωμεν 3) πολεμηστὴς 4) τυγχάνει· 5) θέλει 6) διαχωρήσας 7) διετάξετέ 8) ὡς ὅτι 9) περσῶν 10) ἡμῶν 11) ἤδε 12) ἀδρανοῦντας 13) ἵναι **2.** 1) γραμματιφόροι·

σταλέντες παρὰ Πώρου βασιλέως Ἰνδῶν καὶ ἐπέδωκαν αὐτῷ τὰ γράμματα Πώρου. καὶ λαβὼν Ἀλέξανδρος ἀνέγνω ἐπὶ τῶν στρατοπέδων αὐτοῦ περιέχοντα οὕτως· Βασιλεὺς Πῶρος Ἰνδῶν Ἀλεξάνδρῳ πόλεις λεηλατοῦντι. προστάσσω σοι ἀναχωρεῖν· ἄνθρωπος γὰρ ὢν τί δύνασαι πρὸς θεόν; τί δὲ τοῖς συνοῦσίν σοι χειμασίαν[2]) fol. 251ᵃ παρέχεις ἀσθενέστερος ὢν πρὸς μάχην, δοκῶν σθεναρώτερός μου εἶναι; ἐγὼ οὖν ἀήττητός εἰμι· οὐ μόνον ἀνθρώπων τυγχάνω βασιλεύς, ἀλλὰ καὶ † Διόνυσον ἔχων ἀπειλοῦντά σοι ἐνταῦθα ὃν λέγουσι θεόν· † ὥστε οὖν οὐ μόνον συμβουλεύω ἀλλὰ καὶ κελεύω σοι διὰ τάχους σε ἀπαίρειν εἰς τὴν Ἑλλάδα. οὐ γὰρ φοβήσει με ἡ πρὸς Δαρεῖόν σου μάχη οὐδὲ τῶν ἄλλων ἐθνῶν, ὅσα κατὰ τὴν ἐκείνων ἀδρανίαν ἐγένετο τυχηρά[3])· σὺ γὰρ δοκῶν σθεναρώτερος ὑπάρχει. ὥστε οὖν ἄπαραι[4]) εἰς τὴν Ἑλλάδα. εἰ γὰρ χρείαν εἴχομεν τῆς Ἑλλάδος, πάλαι (ἂν) πρὶν Ξέρξου κατεδουλωσάμεθα αὐτὴν Ἰνδοί, νῦν δὲ ὡς ἀχρεῖον[5]) ἔθνος τυγχάνον[6]) (καὶ) παρ' αὐτοῖς μηδὲν ἄξιον βασιλικῆς θεωρίας ὑπάρχον οὐκ ἐπεστράφημεν· πᾶς γὰρ τὸ κρεῖττον ἐπιθυμεῖ (ἔχειν).

Οὕτως οὖν δημοσίᾳ ἀναγνοὺς Ἀλέξανδρος τῷ[7]) στρατοπέδῳ[8]) αὐτοῦ τὰ γράμματα Πώρου εἶπε πρὸς αὐτούς· ἄνδρες συστρατιῶται, μὴ πάλιν ὑμᾶς[9]) ταρασσέτω τὰ ἀναγνωσθέντα Πώρου γράμματα. μέμνησθε δὲ καὶ ὧν ἔγραψε Δαρεῖος· ἀληθῶς γὰρ μία φρόνησίς ἐστι τοῖς βαρβάροις ἡ ἀναισθησία. ὥσπερ γὰρ τὰ ὑπ' αὐτοὺς fol. 251ᵇ ζῶα, τίγρεις, λέοντες, ἐλέφαντες, γαυρούμενοι τῇ περὶ ἑαυτοὺς γενναιότητι, ῥᾳδίως ὑπὸ ἀνθρωπίνης φύσεως κυνηγοῦνται, οὕτω καὶ οἱ βασιλεῖς τῶν βαρβάρων γαυρούμενοι τῷ πλήθει τῆς στρατείας ῥᾳδίως ὑπὸ τῆς φρονήσεως τῶν Ἑλλήνων χειροῦνται. καὶ οὕτως ἀποφηνάμενος Ἀλέξανδρος πρὸς τὸ θαρσῦναι τὴν στρατείαν αὐτοῦ ἀντιγράφει Πώρῳ·

Βασιλεὺς Ἀλέξανδρος βασιλεῖ Πώρῳ χαίρειν. ἔτι μᾶλλον περισσοτέρως ἡμᾶς προθύμους ἐποίησας πρὸς μάχην σοι ὀτρυνθῆναι, λέγων τὴν Ἑλλάδα μηδὲν ἄξιον ἔχειν βασιλικῆς θεωρίας, ἀλλ' ὑμᾶς τοὺς Ἰνδοὺς πάντα[10]) κεκτῆσθαι[11]) καὶ χώρας τε καὶ πόλεις· οἶδας[12]) δὲ ὅτι πᾶς ἄνθρωπος τὸ κρεῖττον ἐπιθυμεῖ[13]) λαβεῖν καὶ οὐ τὸ ἔλαττον ἔχειν. ἐπεὶ οὖν οἱ Ἕλληνες ταῦτα οὐκ ἔχομεν, ὑμεῖς δὲ οἱ βάρβαροι κέκτησθε αὐτά, ἐπιθυμοῦμεν τῶν κρειττόνων καὶ θέλομεν αὐτὰ ἀφ' ὑμῶν κεκτῆσθαι.[14]) γράφεις δέ μοι καὶ θεὸν ἑαυτὸν εἶναι καὶ ἁπάντων ἀνθρώπων βασιλέα, ὥστε καὶ τοῦ θεοῦ σε μείζονα δύνασθαι.[15]) ἐγὼ δὲ πρὸς ἄνθρωπον κομπηγόρον συνάπτω τὸν πόλεμον καὶ μάλιστα βάρβαρον καὶ οὐχὶ θεόν· θεοῦ γὰρ μίαν πανοπλίαν οὐ δύναται ὑπενεγκεῖν ἅπασα ἡ οἰκουμένη, fol. 252ᵃ βροντῆς ἠχισμὸν ἢ ἀστραπῆς φωτισμὸν ἢ κεραυνοῦ ὀργήν. ἐμὲ οὖν οὐ θαμβοῦσι τὰ ὑπ' ἐμοῦ πολεμηθέντα ἔθνη, οὔτε δειλὸν ποιοῦσιν οἱ ὑπὸ σοῦ κομπώδεις λόγοι.

---

2) über χειμασίαν übergeschrieben συμαχίαν 3) στυγηρόν· 4) ἄπαρε 5) ἀρχεῖον 6) τυγχάνων· 7) τῶν 8) στρατοπέδων 9) ἡμᾶς 10) πάντας 11) κέκτησθε· 12) οἶδα 13) ἐπιθυμεῖν 14) κεκτεῖσθαι· 15) δύνασθι·

Cap. 3.

Πῶρος δεξάμενος τὰ γράμματα Ἀλεξάνδρου καὶ ἀναγνοὺς ὠτρύνθη[1]) σφόδρα καὶ εὐθέως συνήγαγε τὰ πλήθη τῶν βαρβάρων καὶ ἐλέφαντας καὶ ἕτερα πολλὰ θηρία, ἅτινα συνεμάχοντο τοῖς Ἰνδοῖς. ὡς δὲ ἦλθον ἐγγὺς οἱ Μακεδόνες[2]) καὶ Πέρσαι, ἰδὼν ὁ Ἀλέξανδρος τὴν παράταξιν τοῦ Πώρου ἐφοβήθη, οὐ τοὺς ὄχλους, ἀλλὰ τὰς θῆρας· θεωρήσας γὰρ τὸ ξένον τῶν θηρίων ἐθαύμασεν· ἀνθρώποις γὰρ εἶχεν ἔθος μάχεσθαι καὶ οὐ θηρίοις.

Γίνεται οὖν πάλιν Ἀλέξανδρος ἑαυτοῦ ἄγγελος καὶ εἰσῆλθεν εἰς τὴν πόλιν ἔνθα ἦν Πῶρος, στρατιωτικῷ σχήματι ὀψώνια ἀγοράζων. οἱ δὲ Ἰνδοὶ τοῦτον θεασάμενοι εὐθέως παρέστησαν αὐτὸν Πώρῳ τῷ βασιλεῖ. καὶ λέγει αὐτῷ Πῶρος· πῶς ὁ Ἀλέξανδρος; ὁ δὲ εἶπεν· ζῇ καὶ ὑγιαίνει[3]) καὶ ἐπιθυμεῖ ἰδεῖν τὸν τοιοῦτον βασιλέα Πῶρον. καὶ ἐξελθὼν μετὰ Ἀλεξάνδρου ἔδειξεν αὐτῷ τῶν θηρίων τὸ πλῆθος καὶ εἶπε τῷ Ἀλεξάνδρῳ· πορευθεὶς εἰπὲ τῷ Ἀλεξάνδρῳ, ὅτι ἐγὼ τοὺς ὁμοίους σου θῆρας ἐξάγω σοι πολεμεῖν. ὁ δὲ Ἀλέξανδρος ἀπεκρίθη· Πῶρε βασιλεῦ, πρὸ τοῦ με ἀπελθεῖν πρὸς Ἀλέξανδρον αὐτὸς ἀκήκοεν τὰ παρὰ[4]) σοῦ ῥηθέντα. ὁ δὲ Πῶρος· παρὰ τίνος; ὁ δέ· παρὰ Πώρου· θεοῦ γὰρ υἱὸς ὢν οὐκ ἀγνοεῖ τὰ λεγόμενα. φιλοτιμήσας οὖν αὐτὸν Πῶρος ἐξαπέστειλεν. (fol. 252b)

Ἐξελθὼν δὲ Ἀλέξανδρος ἀπὸ τοῦ Πώρου θεασάμενος τὴν παράταξιν τῶν θηρίων καὶ ἐξετάσας τὸν ἴδιον λογισμόν, πολλὴν σκέψιν[5]) ποιησάμενος, τί λοιπὸν ποιεῖ ὁ φρενήρης; ὅσους ἂν εἶχεν[6]) ἀνδριάντας χαλκοῦς καὶ τῶν στρατιωτῶν τὰ καταφράγματα στήσας τρόπαια, τούτους ἐκέλευσεν πυρωθῆναι ἐπιμελῶς ὡς εἶναι μόνον πῦρ τὸ χάλκωμα, καὶ ἐκέλευσεν αὐτοὺς ἔμπροσθεν εἶναι ὡσεὶ τεῖχος τῆς παρατάξεως τοῦ πολέμου. καὶ ἐσάλπισαν τὸ πολεμικὸν μέλος. ὁ δὲ Πῶρος ἐκέλευσεν εὐθέως λυθῆναι τὰς θῆρας. τὰ οὖν θηρία τῇ ὁρμῇ ἐχόμενα ἐπεπήδων[7]) καὶ ἐδράσσοντο[8]) τῶν ἀνδριάντων, καὶ εὐθέως τὰ στόματα αὐτῶν ἀνήπτοντο καὶ οὐκέτι οὐδενὸς ἥπτοντο. οὕτως οὖν τὴν ὁρμὴν τῶν θηρίων κατέπαυσεν ὁ νουνεχὴς Ἀλέξανδρος. οἱ δὲ Πέρσαι κατεδυνάστευον τοὺς (fol. 253a) Ἰνδοὺς καὶ τούτους ἐπεδίωκον τοξοβολίαις[9]) καὶ ἱππομαχίαις. πολλὴ[10]) δὲ ἦν ἡ μάχη ἀναιρούντων καὶ ἀναιρουμένων. πίπτει δὲ ὁ Ἀλεξάνδρου ἵππος ὁ Βουκέφαλος ἐξασθενήσας τῇ γνώμῃ· καὶ τούτου γενομένου ἀμελήσας τοῦ πολέμου ὁ Ἀλέξανδρος, εἴκοσι ἡμέρας ἔμειναν πολεμοῦντες μετ' ἀλλήλων. οἱ δὲ Ἀλεξάνδρου φοβηθέντες ἑαυτοὺς προεδίδοσαν.[11])

Cap. 4.

Νοήσας οὖν ὁ Ἀλέξανδρος, ὅτι μέλλει[1]) προδίδοσθαι, σιγὴν κελεύσας γενέσθαι τοῦ πολέμου ἀπεφήνατο πρὸς Πῶρον βασιλέα λέγων· τοῦτο[2]) οὐκ ἔστι βασιλέως δύναμις, (ἐὰν) ἵνα ὁπότερος

---

3. 1) ὀτρύνθη 2) μακέδοναι 3) ὑγειαίνει· 4) περὶ 5) σκέψην 6) ἦχεν 7) ἐπεπήδουν 8) ἐδράσοντο 9) τοξοβελίαις 10) πολὴ 11) προεδίδωσαν· **4.** 1) μέλλη 2) τούτω

ἡμῶν νικήςῃ[3]) μεταξὺ ἡμῶν τὰ στρατόπεδα[4]) ἀπολοῦνται[5]), ἀλλὰ τοῦτο γενναιότης ἐςτὶ τοῦ ἰδίου ςώματος, ἐὰν ἑκάτερος[6]) ἡμῶν ἀναπαυςάμενος τῆς στρατείας ἔλθωμεν εἰς μονομαχίαν περὶ τῆς βαςιλείας. ἐχάρη δὲ Πῶρος καὶ ὑπέςχετο Ἀλεξάνδρῳ μονομαχῆςαι πρὸς αὐτόν, ὁρῶν τὸ ςῶμα Ἀλεξάνδρου μὴ ἀναλογοῦν πρὸς τὸ ἑαυτοῦ ςῶμα. ἦν γὰρ Πῶρος πηχέων ε', ὁ δὲ Ἀλέξανδρος οὐδὲ τριῶν. ἔςτηςαν οὖν ἑκάτερα μέρη ἐπὶ θεωρίᾳ Πώρου καὶ Ἀλεξάν-fol. 253b δρου. θόρυβος οὖν γίνεται ἄφνω εἰς τὸ τοῦ βαςιλέως Πώρου στρατόπεδον. ὁ οὖν Πῶρος θροηθεὶς ἐςτράφη εἰς τὰ ὀπίςω ἰδεῖν τί ὁ θόρυβος. ὁ δὲ Ἀλέξανδρος κοιλάνας τοὺς πόδας Πώρου ἐμπηδᾷ εἰς αὐτὸν καὶ ἐντίθηςι τὸ ξίφος αὐτοῦ διὰ τῆς λαγόνος[7]) αὐτοῦ καὶ παραυτὰ[8]) ἀναιρεῖ Πῶρον τὸν βαςιλέα Ἰνδῶν. ἤρξαντο οὖν τὰ στρατεύματα ἀμφότερα εἰς ἀλλήλους πολεμεῖν. ὁ δὲ Ἀλέξανδρος λέγει πρὸς τοὺς Ἰνδούς· τάλανες Ἰνδοί, τί[9]) πολεμεῖτε τοῦ βαςιλέως ὑμῶν[10]) ἀναιρεθέντος; (οἱ δὲ εἶπον·) ἵνα μὴ αἰχμαλωτιςθῶμεν, πολεμοῦμεν. ὁ δὲ Ἀλέξανδρος λέγει αὐτοῖς· παύςαςθε πολεμοῦντες καὶ ἀναςτρέψαντες εἰςέλθετε[11]) εἰς τὴν πόλιν ὑμῶν ἐλεύθεροι ὄντες· οὐ γὰρ ὑμεῖς ἐτολμήςατε εἰς τὸ στρατόπεδόν μου ἐπιβῆναι ἀλλὰ Πῶρος. ταῦτα δὲ εἶπεν εἰδὼς ὅτι οὐκ ἀναλογεῖ τὸ στρατόπεδον αὐτοῦ πρὸς τὸ τῶν Ἰνδῶν μάχεςθαι.

Εὐθέως οὖν ἐκέλευςε τὸν βαςιλέα Πῶρον θάπτεςθαι βαςιλικῶς. τὰ δὲ τίμια[12]) πάντα τοῦ παλατίου αὐτοῦ λαβὼν τὴν ὁδοιπορίαν ἐποιεῖτο πρὸς τοὺς Βραχμᾶνας ἤτοι τοὺς Ὀξυδόρκας, οὐχ ὡς ὄντας πολεμιςτὰς τῷ πλήθει, ἀλλὰ γυμνοςοφιςτὰς ὑπὸ καλύβας καὶ ςπήλαια οἰκοῦντας.

Cap. 5.

fol. 254a Οἱ δὲ Βραχμᾶνες[1]) μαθόντες[2]) πρὸς αὐτοὺς παραγίνεςθαι τὸν βαςιλέα Ἀλέξανδρον τοὺς[3]) ἀρίςτους αὐτῶν φιλοςόφους ἔπεμψαν πρὸς αὐτὸν μετὰ γραμμάτων. καὶ δεξάμενος καὶ ἀναγνοὺς Ἀλέξανδρος εὗρεν οὕτως περιέχοντα τὰ γράμματα αὐτῶν·

Γυμνοςοφιςταὶ Ἀλεξάνδρῳ ἀνθρώπῳ ἐγράψαμεν· εἰ μὲν γὰρ παραγίνει[4]) πρὸς ἡμᾶς πολεμῆςαι, οὐδὲν ὀνήςει[5])· οὐ γὰρ ἔχεις παρ' ἡμῶν τι βαςτάςαι· (εἰ δὲ θέλεις ἃ ἔχομεν βαςτάςαι,) οὐ δέεται ταῦτα πολέμου ἀλλὰ δεήςεως οὐ πρὸς ἡμᾶς, ἀλλὰ πρὸς τὴν ἄνω πρόνοιαν· ἐὰν δὲ βούλῃ[6]) μαθεῖν τίνες ἐςμὲν ἄνθρωποι, γυμνοὶ φιλοςοφεῖν εἰωθότες οὐκ ἀφ' ἑαυτῶν ἀλλ' ἐκ τῆς ἄνω προνοίας δημιουργηθέντες· ςοὶ[7]) γὰρ ἕπεται πολεμεῖν, ἡμῖν φιλοςοφεῖν.

Ταῦτα ἀναγνοὺς Ἀλέξανδρος ὁ βαςιλεὺς εἰρηνικῶς πρὸς αὐτοὺς ἐπορεύετο, καὶ ἐθεώρηςεν ὕλας πολλὰς καὶ δένδρα πολλὰ

3) νικήςας· 4) στρατόπαιδα 5) ἀπωλοῦνται· 6) ὁ πότερος 7) λαγῶνος 8) παρ' αὐτῷ 9) τίνα (ἵνα τί?) 10) ἡμῶν 11) εἰςέλθατε 12) ταμυῖα (ταμιεῖα) **5.** 1) βραχμᾶνε 2) μαςθόντες 3) τὰς 4) παραγένει (παραγένῃ?) 5) ὠνήςει· 6) βούλει 7) ςὺ (von jüngerer hand corrigiert ςέ)

καὶ ὑπέρκαλα μετὰ καρπῶν παντοδαπῶν, ποταμὸν δὲ περικυκλοῦντα ὅλην τὴν γῆν ἐκείνην, οὗ ἦν τὸ ὕδωρ διαφανές, λευκὸν ὡςεὶ γάλα, (καὶ) φοίνικας πολυπληθεῖς[8]) καρπῶν[9]) γέμοντας, τὸ δὲ τῆς ἀμπέλου κλῆμα ἔχον βότρυας χιλίους[10]) καλοὺς λίαν εἰς ἐπιθυμίαν· καὶ εἶδεν αὐτοὺς Ἀλέξανδρος γυμνοπεριβόλους ὑπὸ καλύβας καὶ σπήλαια κατοικοῦντας. ἔξω δὲ μακρὰν ἀπὸ διαστήματος [αὐτῶν] πολλοῦ εἶδε[11]) τὰς γυναῖκας καὶ τὰ παιδία αὐτῶν ὡς ποίμνια νεμόμενα.[12]) fol. 254[b]

Cap. 6.

Ἐζήτησε δὲ ἀπ' αὐτῶν Ἀλέξανδρος λέγων· τάφους οὐκ ἔχετε; οἱ δὲ εἶπον· τοῦτο τὸ χώρημα (ἔνθα) μένομεν, ἐστὶν ἡμῶν καὶ τάφος· ὧδε γὰρ ἀναπαυόμεθα ἐπὶ τὴν γῆν ταφίζοντες ἑαυτοὺς εἰς ὕπνον· γῆ γὰρ ἡμᾶς γεννᾷ, γῆ τρέφει, ὑπὸ γῆν δὲ τελευτήσαντες κείμεθα (κοιμώμεθα?) τὸν αἰώνιον ὕπνον. ἕτερον δὲ ἐπηρώτησεν·[1]) τίνες ἄρα πλείονές εἰσιν, οἱ ζῶντες ἢ οἱ νεκροί; οἱ δὲ εἶπον· οἱ μὲν τετελευτηκότες πλείονες, ἀλλὰ μηκέτι ὄντες ἀμέτρητοι[2])· οἱ γὰρ ὁρώμενοι πλείονές εἰσι τῶν μὴ φαινομένων. ἕτερον δὲ ἐρωτᾷ ἐρώτημα· τί ἄρα ἰσχυρότερον, θάνατος ἢ ζωή; οἱ δὲ εἶπον· ἡ ζωή, ὅτι ὁ ἥλιος ἀνατέλλων τὰς ἀκτῖνας ἔχει λαμπράς, δύνων δὲ ἀσθενέστερος ὁρᾶται. ἔτι ἠρώτησεν· τί πλεῖον, ἡ γῆ ἢ ἡ θάλασσα; οἱ δὲ εἶπον· ἡ γῆ. καὶ γὰρ αὐτὴ ἡ θάλασσα ὑπὸ τῆς γῆς κατέχεται. ἕτερον δὲ ἠρώτησε[3])· τί ἄρα πάντων τῶν ζώων ἐστὶ πανουργότερον; οἱ δὲ εἶπον· ὁ ἄνθρωπος. ὁ δέ φησιν· πῶς; οἱ δὲ εἶπον· τοῦτο ἀπὸ σεαυτοῦ πείθου· σὺ γὰρ θὴρ ὑπάρχων ἰδὲ πόσα θηρία μετὰ σοῦ ἔχεις, ἵνα τὴν τῶν ἑτέρων θηρίων ζωὴν μόνος ὑφαρπάσῃς. ὁ δὲ οὐκ ὠργίσθη[4]), ἀλλ' ἐμειδίασεν. ἄλλο δὲ εἶπεν· τί ἐστι βασιλεία; οἱ δὲ εἶπον· πλεονεξίας δύναμις ἄδικος, τόλμη καιροῦ συνίσχοντος, χρυσοῦν φορτίον. ἕτερον δὲ εἶπεν· τί πρῶτον ἐγένετο, νὺξ ἢ ἡμέρα; οἱ δὲ εἶπον· ἡ νύξ· καὶ γὰρ τὰ γενόμενα ἐν τῷ σκότει τῆς γαστρὸς αὐξάνονται, εἶτα εἰς τὴν αὐγὴν ἀποκύει λαβεῖν τὸ φῶς. ἕτερον δὲ εἶπεν· ποῖα κρείττονά ἐστι μέρη, τὰ δεξιὰ ἢ τὰ εὐώνυμα; οἱ δὲ εἶπον· τὰ δεξιά· καὶ γὰρ αὐτὸς ὁ ἥλιος τοῖς δεξιοῖς ἀνατέλλει καὶ τοῖς εὐωνύμοις μέρεσι τοῦ[5]) οὐρανοῦ[6]) περιπολεύει· θηλάζει (δὲ) πρῶτον ἡ γυνὴ τῷ δεξιῷ μαζῷ. ἔπειτα δὲ αὐτοὺς ἐπηρώτησεν[1]) Ἀλέξανδρος· ἔχετε ἀνάκτορα[7]); οἱ δὲ εἶπον· ναὶ ἔχομεν ἡγούμενον. ὁ δὲ εἶπεν· ἤθελον αὐτὸν ἀσπάσασθαι. οἱ δὲ ὑπέδειξαν αὐτῷ τὸν Δανδάμην[8]) εἰς τὴν γῆν ἀνακείμενον. (ἦσαν δὲ) ἐστρωμένα αὐτῷ φύλλα δένδρων πολλὰ καὶ παρατεθειμένα[9]) ἔμπροσθεν αὐτοῦ ἐκ σικύων πέπονες[10]) καὶ λοιπὴ ὀπώρα. ἰδὼν δὲ τοῦτον Ἀλέξανδρος ἠσπάσατο αὐτόν. κἀκεῖνος δὲ εἶπεν τῷ Ἀλεξάνδρῳ· χαίροις, οὐκ ἀνέστη δέ, οὐκ ἐτίμησεν αὐτὸν ὡς βασιλέα. ἐπηρώτησεν[1]) δὲ αὐτὸν Ἀλέξανδρος, εἰ ἔστιν fol. 255[a]

---

8) πολυπαθεῖς 9) καρπὸν 10) χιλίας 11) ἴδε 12) νεμώμενα·
6. 1) ἐπερώτησεν· 2) μετρητοί· 3) ἐρώτησε· 4) ὀργίσθη· 5) τοῦτο
6) οὖν 7) ἀνάκτωρα; 8) δαδάμην· 9) παραθέμενα 10) πέπονας

αὐτοῖς κτῆμα. ὁ δὲ εἶπεν· κτήματα ἡμῖν γῆ, δένδρα καρποφόρα,
fol. 255ᵇ φῶς, ἥλιος, σελήνη, ἀστέρων χορός, ὕδωρ· ὅταν[11]) οὖν πεινάσωμεν, πορευόμεθα εἰς τὰ κατάκομα δένδρα καὶ ἐσθίομεν[12]) καρποὺς αὐτομάτους· κατὰ γὰρ γένναν σελήνης ὅλα τὰ παρ' ἡμῖν[13]) δένδρα κυΐσκει[14]) καρπούς. ἔχομεν δὲ καὶ τὸν μέγαν ποταμὸν τὸν Εὐφράτην, καὶ ὁπόταν διψῶμεν, ἀπερχόμεθα πρὸς αὐτὸν καὶ πίνομεν[15]) ὕδωρ καὶ εὐφραινόμεθα. ἔχομεν δὲ ἕκαστος τὴν ἰδίαν αὐτοῦ γυναῖκα καὶ κατὰ σεληνιακὴν[16]) γένναν πορεύεται ἕκαστος καὶ πλησιάζει τῇ ἰδίᾳ συνεύνῳ, ἕως ἂν τέκῃ[17]) δύο παῖδας· καὶ λογιζόμεθα τὸν[18]) μὲν ἕνα ἀντὶ τοῦ πατρός, τὸν[18]) δὲ ἄλλον ἀντὶ τῆς μητρός. ταῦτα ἀκούσας Ἀλέξανδρος εἶπε πᾶσιν· αἰτήσατέ με τί θέλετε καὶ δώσω[19]) ὑμῖν. ἐξεβόησαν δὲ πάντες λέγοντες· δὸς ἡμῖν ἀθανασίαν. ὁ δὲ Ἀλέξανδρος εἶπεν· τούτου ἐγὼ ἐξουσίαν οὐκ ἔχω, κἀγὼ (γὰρ) θνητὸς ὑπάρχω. οἱ δὲ εἶπον· τί τοίνυν θνητὸς ὑπάρχων τοσαῦτα πολεμεῖς, ἵνα πάντα ἄρῃς καί που ἀπενέγκῃς; οὐ πάλιν καὶ σὺ ἑτέροις αὐτὰ καταλιμπάνεις; Ἀλέξανδρος εἶπεν· ταῦτα ἐκ τῆς ἄνω προνοίας διοικεῖται, ἵνα ἡμεῖς δοῦλοι καὶ διά-
fol. 256ᵃ κονοι γενώμεθα τῆς ἐκείνων ἐπιταγῆς. οὐ γὰρ κινεῖται θάλασσα, εἰ μὴ ἄνεμος πνεύσῃ, οὐδὲ σαλεύεται δένδρα, εἰ μὴ ῥιπίσῃ πνεῦμα· οὐ γὰρ ἐνεργεῖται ἄνθρωπος, εἰ μὴ ἐκ τῆς ἄνω προνοίας. κἀγὼ δὲ παύσασθαι θέλω τοῦ πολεμεῖν, ἀλλ' οὐκ ἐᾷ με[20]) ὁ τῆς γνώμης μου δεσπότης. εἰ[21]) γὰρ πάντες ὁμόγνωμοι ἦμεν[22]), ἀργὸς ἐτύγχανεν (ἂν) ὁ κόσμος· θάλασσα οὐκ ἐπλέετο, γῆ οὐκ ἐγεωργεῖτο, γάμοι οὐκ ἐπετελοῦντο, παιδοποιία οὐκ ἦν· πόσοι γὰρ ἐν τοῖς γενομένοις[23]) ὑπ' ἐμοῦ πολέμοις ἐδυστύχησαν[24]) ἀπολέσαντες[25]) ἄνδρας καὶ παιδία; ἄλλοι δὲ εὐτύχησαν ἐκ τῶν ἀλλοτρίων· πάντες γὰρ τὰ πάντα λαμβάνοντες ἑτέροις παραχωροῦσιν, καὶ οὐδενὶ οὐδὲν ὑπάρχει.

Ταῦτα εἰπὼν Ἀλέξανδρος προσήνεγκε τῷ Δανδάμῃ χρυσίον καὶ ἄρτους καὶ οἶνον καὶ ἔλαιον· λάβε ταῦτα, πρεσβῦτα, εἰς μνήμην ἡμῶν. ὁ δὲ Δανδάμης γελάσας εἶπε· ταῦτα ἡμῖν ἄχρηστά ἐστιν, ἀλλ' ἵνα οὖν μὴ δόξωμεν[26]) ὑπερηφανεύεσθαι, ληψόμεθα ἀπὸ σοῦ τὸ ἔλαιον. καὶ ποιήσας σωρὸν ξύλων ἐξῆψεν εἰς αὐτὸν[27]) πῦρ καὶ κατέχεεν ἔμπροσθεν Ἀλεξάνδρου τὸ ἔλαιον εἰς τὸ πῦρ.

Cap. 17.

Καὶ τούτου γενομένου ὑπεχώρησεν ἀπ' αὐτῶν ὁ Ἀλέξανδρος.
fol. 256ᵇ ὑποστρέψας οὖν τὴν κατὰ φύσιν ὁδὸν τὴν φέρουσαν εἰς τὴν Πρασιακήν, ἥτις δοκεῖ μητρόπολις εἶναι τῆς Ἰνδικῆς χώρας, ἔνθα ἦν Πῶρος βασιλεύων, καὶ πάντες οἱ τοῦ Πώρου ἀπεδέξαντο τὸν Ἀλέξανδρον. (Müller p. 123ᵃ) καὶ πάντα κατὰ φύσιν διοικονομήσαντος καὶ τῶν Ἰνδῶν προθύμως συνελθόντων, ἔλεγόν τινες τῷ Ἀλεξάν-

11) ὅ τ' ἂν 12) ἐσθίωμεν 13) ἡμῶν 14) κυείσκει 15) πίνωμεν 16) κατασεληνακὴν 17) τέκει 18) τὸ 19) δόσω 20) ἐᾶμαι 21) οἵ 22) ὦμεν 23) γεναμένοις 24) ἐδυστήχησαν 25) ἀπωλέσαντες 26) δόξομεν 27) αὐτῶν

δρῳ· μέγιστε βασιλεῦ, λήψει πόλεις θαυμαστὰς καὶ βασιλείας καὶ ὄρη εἰς ἃ οὐδεὶς τῶν ζώντων ἐπέβη ποτὲ βασιλεύς. τινὲς δὲ ἐκ τῶν πολυΐδρίων[1]) ἐλθόντες ἔλεγον Ἀλεξάνδρῳ· βασιλεῦ, ἔχομέν σοί τι δεῖξαι παράδοξον ἄξιόν σου· δείξομέν σοι γὰρ φυτὰ ἀνθρωπίνῳ στόματι λαλοῦντα. εἰσήνεγκαν οὖν Ἀλέξανδρον, ἔνθα ἦν ἱερὸν τοῦ ἡλίου καὶ σελήνης· κατὰ δὲ αὐτοὺς ἦν φρουρὰ καὶ δύο δένδρα παραπλήσια κυπαρίσσοις.[2]) κύκλῳ δὲ ἦν αὐτοῖς δένδρα παρόμοια τῇ ἐν Αἰγύπτῳ καλουμένῃ μυροβαλάνῳ[3])· ὁ καρπὸς αὐτῶν (ὁμοίως). προσηγόρευον οὖν τὰ δύο δένδρα τὰ ἐν μέσῳ τοῦ παραδείσου τὸ μὲν ἀρρενικὸν ἀρρενικῷ λογισμῷ, τὸ δὲ θηλυκὸν θηλυκῷ. ὄνομα δὲ ἦν τοῦ ἀρρενικοῦ ἥλιος, τοῦ δὲ θήλεος[4]) σελήνη· ἃ ἔλεγον τῇ ἰδίᾳ φωνῇ μου θεαματου. τούτοις δὲ τοῖς δυσὶ δένδροις περιεβέβλητο δορὰ παντοίων θηρίων, τῷ[5]) μὲν ἄρρενι ἀρρένων, τῷ δὲ θήλει θηλυκῶν· παρ' αὐτοῖς δὲ σίδηρος οὐχ ὑπῆρχεν οὔτε χαλκὸς οὔτε κασσίτερος[6]), ἀλλ' οὐδὲ[7]) πηλὸς εἰς πλάσιν. τοῦ δὲ Ἀλεξάνδρου ἐρωτῶντος[8]), τίνος αἱ δοραί εἰσιν αἱ σκέπουσαι αὐτά, ἔφησαν λέγοντες, λεόντων[9]) εἶναι καὶ παρδάλεων. περὶ δὲ τῶν δένδρων[10]) ἔτι ἀνεζήτει μαθεῖν Ἀλέξανδρος· οἱ δὲ ἔφησαν· πρωίας γενομένης ὅταν ὁ ἥλιος ἀνατέλλῃ[11]), φωνὴ ἐκ τοῦ δένδρου γίνεται, καὶ ὅταν[12]) κατὰ μέσον τοῦ οὐρανοῦ γίνεται (γίνηται?) καὶ ὅταν[12]) μέλλῃ δῦναι, τοῦτο τρίτον. τὸ δ' αὐτὸ καὶ ἐπὶ τῆς σελήνης γίνεται. καὶ οἱ δοκοῦντες ἱερεῖς εἶναι προσῆλθον λέγοντες τῷ Ἀλεξάνδρῳ· εἴσελθε καθαρῶς καὶ προσκύνησον καὶ λήψει χρησμόν... οἱ δὲ ἱερεῖς ἔλεγον· Ἀλέξανδρε βασιλεῦ, σίδηρον οὐ καθήκει[13]) εἰσελθεῖν εἰς τὸ ἱερόν. προστάσσει οὖν τὰ ξίφη ἔξω ἀποθέσθαι τοῦ περιβόλου. συνεισῆλθον δὲ τῷ Ἀλεξάνδρῳ ἄνδρες ἱκανοί. καὶ κελεύει κατοπτεῦσαι[14]) τὸν τόπον κύκλῳ. προσκαλεῖται οὖν ἐκ τῶν συνακολουθησάντων αὐτῷ Ἰνδῶν, ἵνα ἑρμηνείας τύχῃ[15]) παρ' αὐτῶν. ὀμνύει δὲ αὐτοῖς, ὅτι ἐὰν δύνῃ[16]) ὁ ἥλιος καὶ φωνή μοι χρησμοῦ μὴ ἀκουσθῇ, ζῶντας ὑμᾶς ἐμπρήσω. ἐγένετο δὲ ἅμα τῷ[17]) δῦναι τὸν ἥλιον, φωνὴ ἠνέχθη Ἰνδικὴ ἀπὸ τοῦ δένδρου. οἱ δὲ συνόντες αὐτῷ Ἰνδοὶ φοβούμενοι οὐκ ἠθέλησαν μεθερμηνεῦσαι. σύννους[18]) δὲ γενόμενος ὁ Ἀλέξανδρος εἵλκυσεν αὐτοὺς κατὰ μόνας. καὶ πρὸς τὸ οὖς..... εἶπον αὐτῷ· Ἀλέξανδρε βασιλεῦ, ἐν τάχει ἀπολέσθαι[19]) ἔχεις ἀπὸ τῶν ἰδίων.[20]) πάντων δὲ τῶν ἑστώτων ἀποτερατωθέντων[21]) ἐβουλήθη Ἀλέξανδρος πάλιν χρησμοδοτισθῆναι. ἀκούσας δὲ τὸ μέλλον εἰσῆλθεν καὶ ἠξίωσεν ἵνα ἀσπάσηται τὴν ἑαυτοῦ μητέρα Ὀλυμπιάδα. καὶ τῆς σελήνης ἀνατελλούσης φωνεῖ τὸ δένδρον Ἑλληνικῇ διαλέκτῳ· Ἀλέξανδρε βασιλεῦ, ἐν Βαβυλῶνι δεῖ σε ἀποθανεῖν καὶ ὑπὸ τῶν ἰδίων ἀναιρεθήσῃ καὶ οὐ δυνήσῃ[22]) ἀνακομισθῆναι πρὸς Ὀλυμπιάδα

fol. 257a

fol. 257b

---

17. 1) Πολιδρύων 2) κηπαρίσσοις· 3) ἐναργύπτω καλουμένη· μυροβαλάνω. vielleicht μυροβάλανος ausgefallen. 4) θήλεως· 5) τὸ 6) κασσίτηρος· 7) οὔτε 8) ἐρωτόντος, 9) λεώντων 10) θηρίων 11) ἀνατέλη· 12) ὅτ' ἂν 13) καθείκει 14) καθοπτεῦσαι 15) τύχει 16) δύνει 17) τὸ 18) σύνους 19) ἀπωλέσθαι 20) ἰνδῶν· 21) ἀποτεραθέντων, 22) δυνῆσοι

τὴν μητέρα cου. τοῦ Ἀλεξάνδρου δὲ θαυμάcαντος ἐβουλήθη cτεφάνους καλλίcτους παραθεῖναι[23]) τοῖc δένδροιc. τῶν δὲ ἱερέων λεγόντων· οὐκ ἔξεcτι τοῦτο γενέcθαι· εἰ δὲ βιάζειc, πρᾶξον ὃ βούλει· βαcιλεῖ γὰρ πᾶc νόμοc ἄγραφοc, περίλυποc δὲ γενόμενοc fol. 258ᵃ Ἀλέξανδροc ἀναcτὰc ὄρθρου cὺν τοῖc ἱερεῦcι καὶ φίλοιc αὐτοῦ καὶ τοῖc Ἰνδοῖc πάλιν εἰc τὸ ἱερὸν εἰcῆλθε, καὶ προcευξάμενοc προcῆλθε cὺν τῷ ἱερεῖ. καὶ ἐπιθεὶc τὴν χεῖρα αὐτοῦ τῷ δένδρῳ ἐπηρώτηcεν, εἰ ἄρα πεπλήρωται αὐτοῦ τὰ τῆc ζωῆc ἔτη, τοῦτο βουλόμενοc μαθεῖν. ἅμα δὲ τῷ[24]) γενέcθαι τὴν ἀνατολὴν τοῦ ἡλίου καὶ βάλλειν τὴν αὐγὴν εἰc τὴν κορυφὴν τοῦ δένδρου, φωνή τιc (ἐξῆλθεν) ὀξεῖα διαρρήδην λέγουcα· πεπλήρωταί cου τὰ ἔτη τῆc ζωῆc, καὶ ἀνακομιcθῆναι οὐκ ἔχειc πρὸc Ὀλυμπιάδα τὴν μητέρα cου, ἀλλ᾽ ἐν Βαβυλῶνι ἔχειc ἀπολέcθαι.[19]) μετὰ δὲ ὀλίγον χρόνον καὶ ἡ μήτηρ cου καὶ ἡ γυνή cου κάκην κακῶν (sic) ἀπολοῦνται[25]) ἀπὸ τῶν ἰδίων.[20]) καὶ περὶ τούτων μηκέτι ἀξίου, οὐ γὰρ ἀκούcειc[26]) ἔτι τί ποτε.

Ταῦτα ἀκούcαc περίλυποc ἐγένετο καὶ ἐξελθὼν ἐκεῖθεν ἐκίνηcεν ἀναχωρῶν ἀπὸ τῆc Ἰνδικῆc. καὶ παραγίνεται ἐν Περcίδι.

Cap. 18.

Καὶ ἐπείγετο[1]) ἐπὶ τὰ Cεμιράμεωc[2]) βαcίλεια θεάcαcθαι· ἦcαν γὰρ περίφημα. ἐβαcίλευcε δὲ ὅληc τῆc χώραc ἐκείνηc γυνὴ ἔχουcα κάλλοc ὑπερήφανον, μέcηc ἡλικίαc τυγχάνουcα. πέμπει οὖν πρὸc αὐτὴν γράμματα Ἀλέξανδροc περιέχοντα οὕτωc· Βαcιλεὺc Ἀλέfol. 258ᵇ ξανδροc βαcιλίccῃ Κανδάκῃ τῇ ἐν Μερόῃ[3]) καὶ τοῖc ὑπ᾽ αὐτὴν τυράννοιc χαίρειν. πορευόμενοc εἰc Αἴγυπτον ἤκουcα παρὰ τῶν[4]) ἐκεῖ ἱερέων[5]) περὶ τῶν οἰκητηρίων ὑμῶν καὶ τῶν τάφων καὶ ὅτι χρόνον τινὰ ἐκυριεύcατε[6]) Αἰγύπτου· διὸ ἔπεμψα πρὸc ὑμᾶc. βουλευcάμενοι οὖν πέμψατε ἡμῖν ὃ ἂν φαίνηται[7]) ὑμῖν. ἔρρωcθε.

Ἀντιγράφει[8]) δὲ ἡ Κανδάκη οὕτωc· Βαcίλιccα Μερόηc[9]) Κανδάκη καὶ πάντεc οἱ τύραννοι βαcιλεῖ Ἀλεξάνδρῳ χαίρειν. μὴ καταγνῷc τοῦ χρωτὸc ἡμῶν· ἐcμὲν γὰρ ταῖc ψυχαῖc λαμπρότεροι τῶν παρὰ coὶ λευκοτάτων. ὑπάρχομεν δὲ εἰc πλῆθοc cκυταλοὶ π′ ἐν ἑτοίμῳ πρὸc τοὺc[10]) ἐπιόνταc κακοποιεῖν. κομίζουcι δέ coι οἱ παρ᾽ ἡμῶν cταλέντεc πρέcβειc χρυcοῦ πλίνθουc[11]) ὁλοcφυρήτουc[12]) ρ′, Αἰθίοπαc ἀνήβουc[13]) φ′, cφίγγαc c′ καὶ cτέφανον διὰ cμαράγδων λιτρῶν[14]) χιλίων χρυcίου, μαργαριτῶν ἀμετρήτων ὁρμαθοὺc δέκα ἐcφραγιcμένουc, cτατῆραc δέκα, γλωccόκομα ἐλεφάντινα π′, καὶ θηρίων γένη διάφορα τῶν παρ᾽ ἡμῖν· ἐλέφανταc ε′, παρδάλειc ἡμέρουc ι′, καὶ ἐν ταῖc γαλεάγραιc κύναc ἀνθρωποφάγουc λ′, ταύρουc μαχίμουc[15]) λ′, ὀδόνταc ἐλεφάντων τ′, δορὰc παρδάλεων τ′,

---

23) παραθῆναι 24) τοῦ 25) ἀπωλοῦνται 26) ἀκούcηc **18.** 1) ἐπήγετο 2) cεμηράμεωc 3) βερόη 4) ἀρετῶν 5) ἱερῶν, 6) ἐκηριεύcατε 7) φαίνητε 8) ἀντιγράφη 9) βερόηc 10) τοῦ 11) πλήνθουc 12) ὁλοφυρίταc· 13) ἀμίβουc 14) λυτρῶν 15) μαχήμουc

ῥάβδους ἐβενίνους [16]) γ'. πέμψον οὖν οὓς βούλει τοὺς παραληψο- fol. 259ᵃ μένους αὐτὰ εὐθέως, καὶ γράψον ἡμῖν τὰ περὶ σοῦ, ὅτι πάσης τῆς οἰκουμένης ἐβασίλευσας. ἔρρωσο. [17])

Cap. 19.

Δεξάμενος δὲ Ἀλέξανδρος τὰ γράμματα Κανδάκης τῆς βασιλίσσης καὶ ἀναγνοὺς ἔπεμψε Κλεομένην Αἰγύπτιον ταῦτα παραλαβεῖν. ἡ δὲ Κανδάκη [1]) ταῦτα ἀκούσασα περὶ Ἀλεξάνδρου τὸ πῶς χειροῦται τοὺς τηλικούτους βασιλεῖς, ἕνα τῶν [2]) ἑαυτῆς φωνήσασα Ἕλληνα ζωγράφον ὄντα ἐκέλευσεν πορευθῆναι εἰς ἀπάντησιν αὐτοῦ ἀγνωστὶ ζωγραφῆσαι τὸ Ἀλεξάνδρου ὁμοίωμα. καὶ ἐποίησεν οὕτως. ἡ δὲ Κανδάκη λαβοῦσα τὸ αὐτοῦ ὁμοίωμα ἔθετο ἐν ἀποκρύφῳ τόπῳ.

Ἐγένετο δὲ μεθ' ἡμέρας (τινὰς) τὸν υἱὸν τῆς Κανδάκης ὀνόματι Κανδαύλην [3]) μετ' ὀλίγων ἱπποτῶν [4]) βίαν ὑπομεῖναι ὑπὸ τοῦ τυράννου Βεβρύκων. καὶ κατατρέχει εἰς τὰς σκηνὰς Ἀλεξάνδρου φεύγων ὁ Κανδαύλης ὁ υἱὸς τῆς Κανδάκης. οἱ δὲ φύλακες συλλαβόντες αὐτὸν παριστῶσι Πτολεμαίῳ τῷ καλουμένῳ Σωτῆρι ἔχοντι τὰ δεύτερα τῆς βασιλείας Ἀλεξάνδρου· ἐκοιμᾶτο δὲ Ἀλέξανδρος ὁ βασιλεύς. καὶ ἐξήτασεν [5]) αὐτὸν ὁ Πτολεμαῖος· τίς τυγχάνεις καὶ οἱ σὺν σοὶ ὄντες; ὁ δὲ εἶπεν· υἱός εἰμι Κανδάκης τῆς βασιλίσσης. καὶ λέγει fol. 259ᵇ αὐτῷ [6]) ὁ Πτολεμαῖος· τί οὖν ὧδε ἐλήλυθας; ὁ δὲ εἶπεν αὐτῷ· μετὰ τῆς γυναικός μου καὶ ὀλίγης στρατείας ἠρχόμην ἐνιαύσιον τελέσαι μυστήριον παρὰ τὰς [7]) Ἀμαζόνας. [8]) ὁ δὲ τύραννος τῶν Βεβρύκων ἰδών μου τὴν γυναῖκα καὶ ἐξελθὼν μετὰ πλείστης δυνάμεως ἥρπασεν αὐτὴν καὶ τοὺς πλείονάς μου στρατιώτας ἀνεῖλεν. ὑποστρέφω οὖν ὅπως πλείονα δύναμιν παραλαβὼν κατακαύσω τὴν τῶν Βεβρύκων [9]) χώραν. ἀκούσας δὲ ταῦτα ὁ Πτολεμαῖος εἰσῆλθε πρὸς Ἀλέξανδρον καὶ διύπνισεν [10]) αὐτὸν καὶ διηγήσατο αὐτῷ ἅπερ ἤκουσε παρὰ τοῦ υἱοῦ τῆς Κανδάκης. ἀκούσας δὲ Ἀλέξανδρος εὐθέως ἐγείρετο καὶ ἄρας τὸ ἑαυτοῦ διάδημα ἔστεψε τὸν Πτολεμαῖον καὶ τὴν χλαμύδα αὐτοῦ περιέβαλεν [11]) αὐτῷ καὶ λέγει αὐτῷ· καθέζου ὡς τυγχάνων Ἀλέξανδρος καὶ εἰπὲ τῷ ῥεφερενδαρίῳ [12]) οὕτως· φώνησόν μοι Ἀντίγονον τὸν μέγαν ὑπερασπιστήν. καὶ ὅταν ἔλθω, διήγησαί μοι ἅπερ εἶπές μοι καὶ εἰπέ μοι· τί βουλευώμεθα περὶ τούτου; δός μοι συμβουλίαν.

Προκαθίζεται οὖν Πτολεμαῖος τῷ βασιλικῷ σχήματι ἠμφιεσμένος· ὃν [13]) θεασάμενα τὰ στρατεύματα συνεφοράζοντο [14]) (συνε- fol. 260ᵃ φράζοντο?), τί πάλιν ἐνθυμεῖται Ἀλέξανδρος. ὁ δὲ υἱὸς τῆς Κανδάκης ἰδὼν αὐτὸν ἐν τῇ [15]) βασιλικῇ [16]) ἐσθῆτι ἐφοβήθη, μὴ κελεύσει αὐτὸν ἀναιρεθῆναι· αὐτὸν γὰρ ὑπώπτευεν [17]) εἶναι Ἀλέξανδρον. εἶτα κελεύει Πτολεμαῖος· Ἀντίγονόν μοι καλέσατε τὸν μέγιστον

---

16) ἐβελίνους 17) ἔρρωσον. **19.** 1) κανδάκης 2) τὸν 3) κανδαύλον· 4) ἱππασίων· 5) ἐξέτασεν 6) αὐτὸν 7) ταῖς 8) ἀμαζόνες· 9) βεβρίκων 10) διύπνησεν 11) ἔβαλεν 12) φερενδαρίῳ 13) ὧν· 14) συνεφωράζοντο, 15) τὴν 16) βασιλικὴν· 17) ὑπόπτευεν

ὑπερασπιστήν μου. ἐλθόντος δὲ τοῦ Ἀλεξάνδρου εἶπεν αὐτῷ ὁ Πτολεμαῖος· Ἀντίγονε, οὗτός ἐστιν ὁ υἱὸς Κανδάκης τῆς βασιλίσσης· ἡρπάγη δὲ ἡ γυνὴ αὐτοῦ ὑπὸ τοῦ τυράννου τῶν Βεβρύκων· τί οὖν μοι συμβουλεύεις ποιῆσαι; ὁ δὲ εἶπεν· συμβουλεύω σοι, Ἀλέξανδρε βασιλεῦ, καθοπλίσαντά σου τὴν στρατείαν πολεμῆσαι τοῖς Βέβρυξιν, ἵνα λυτρωσώμεθα αὐτοῦ τὴν γυναῖκα καὶ παραδῶμεν αὐτῷ εἰς τιμὴν τῆς μητρὸς αὐτοῦ. ὁ δὲ Κανδαύλης ὁ υἱὸς τῆς Κανδάκης ἔχαιρε ταῦτα ἀκούσας. εἶπε δὲ Πτολεμαῖος· εἰ τοῦτο βούλει, Ἀντίγονε, τοῦτο καὶ ποίησον ὡς ὑπερασπιστής μου. κέλευσον ἑτοιμάζεσθαι τὴν στρατείαν.

Cap. 20.

Καὶ τοῦ Πτολεμαίου κελεύσαντος Ἀντιγόνῳ [1]) ὡς ἐκείνου Ἀλεξάνδρου τυγχάνοντος τοῦτο γέγονεν. ἔφθασεν δὲ ἐπὶ τὸν τόπον Ἀντίγονος τοῦ τυράννου παρὰ μίαν ἡμέραν σὺν Πτολεμαίῳ (καὶ εἶπεν Ἀντίγονος τῷ Πτολεμαίῳ)· Ἀλέξανδρε βασιλεῦ, μὴ fol. 260 b ὀφθῶμεν τοῖς Βέβρυξιν ἡμέρας, μήποτε μαθὼν ὁ τύραννος ἀναιρήσει τὴν γυναῖκα. ὥστε οὖν νυκτὸς εἰσβάλωμεν εἰς τὴν πόλιν καὶ ἀνάψωμεν τὰς οἰκίας, καὶ αὐτοὶ ἡμῖν οἱ ὄχλοι ἀναστάντες τὴν γυναῖκα παραδώσουσι Κανδαύλου· οὐ γάρ ἐστιν ἡ μάχη ἡμῶν περὶ βασιλείας, ἀλλὰ περὶ ἀπαιτήσεως γυναικός. καὶ οὕτως εἰπόντος τοῦ Ἀντιγόνου προσέπεσεν αὐτῷ ὁ Κανδαύλης καὶ εἶπεν· ὢ τῶν φρενῶν σου, Ἀντίγονε· εἴθε σὺ ἦς Ἀλέξανδρος [2]) καὶ μὴ ὑπερασπιστὴς Ἀλεξάνδρου. καὶ δὴ [3]) νυκτὸς εἰσβάλλουσιν εἰς τὴν πόλιν, κοιμωμένων αὐτῶν, καὶ ἀνάπτουσι τὰ προάστεια. τῶν δὲ διυπνισθέντων καὶ πυνθανομένων, τί τὸ αἴτιον τοῦ ἐμπυρισμοῦ, ἐκέλευσεν Ἀλέξανδρος ἐκβοᾶν· Κανδαύλης ἐστὶν ὁ βασιλεὺς μετὰ πλείστης δυνάμεως [4]), κελεύων ὑμῖν ἀποδοῦναι τὴν γυναῖκα, πρὶν ὅλην ὑμῶν τὴν πόλιν καταφλέξω. οἱ δὲ περιληφθέντες [5]) πάντες γενόμενοι [6]) εἰς τὰ τοῦ τυράννου μέλεθρα τῇ δυνάμει τοῦ πλήθους ἤνοιξαν τὰ βασίλεια καὶ σύγκοιτον [7]) οὖσαν τὴν γυναῖκα Κανδαύλου τῷ τυράννῳ [8]) ἀπέσπασαν καὶ παρέδωκαν τῷ Κανδαύλῃ· τὸν δὲ τύραννον ἀνεῖλον. ὁ δὲ Κανδαύλης τῇ συμβουλίᾳ καὶ ἐπινοίᾳ Ἀντιγόνου fol. 261 a εὐχαριστήσας περιπλακεὶς Ἀντιγόνῳ εἶπεν· Πίστευσον σεαυτὸν ἐμοί, ὅπως ἄρω σε πρὸς τὴν ἐμὴν μητέρα Κανδάκην, ἵνα σοι δώσω βασιλικὰ δωρήματα [9]) ἀντάξιά [10]) σου. ὁ δὲ Ἀλέξανδρος περιχαρὴς γενόμενος εἶπεν αὐτῷ· αἴτησαί με παρὰ τοῦ βασιλέως Ἀλεξάνδρου· κἀγὼ γὰρ ἐπιθυμῶ τὴν [11]) χώραν [12]) ἐπιθεωρῆσαι. μετέδωκεν οὖν Ἀλέξανδρος τῷ Πτολεμαίῳ ἵνα αὐτὸν πέμψῃ [13]) σὺν αὐτῷ ὡς ἄγγελον αὐτοῦ. καὶ εἶπε Πτολεμαῖος τῷ Κανδαύλῃ· βούλομαί σου τὴν μητέρα διὰ γραμμάτων ἀσπάσασθαι. παραλαβὼν οὖν τὸν ἄγγελόν μου Ἀντίγονον ἄγαγε μετὰ σοῦ, πάλιν δὲ σωζόμενον αὐτὸν ἄγαγε ὧδε πρός με, ὥσπερ καὶ σεαυτὸν καὶ τὴν

20. 1) ἀντιγόνου 2) ἀλέξανδρε· 3) δεὶ 4) δυνάμεας· 5) περιλειφθέντες 6) γενάμενοι 7) σύνκοιτον 8) τυράνῳ 9) δωρύματα 10) ἀνάξιά 11) τῆς 12) χώρας 13) πέμψει

γυναῖκά cου πρὸc τὴν μητέρα cου cώουc ἀποκαθιcτῶν. ὁ δὲ Κανδαύληc εἶπεν· βαcιλεῦ, οὕτωc παραλαμβάνω τοῦτον τὸν ἄνδρα ὡc αὐτὸν τὸν Ἀλέξανδρον· ἐκπέμψω δέ cοι αὐτὸν μετὰ βαcιλικῶν δώρων.

Cap. 21.

Καὶ δὴ πορευόμενοc Κανδαύληc ἔλαβε μεθ' ἑαυτοῦ Ἀλέξανδρον καὶ ἱκανὴν cτρατείαν καὶ κτήνη καὶ ἁμάξαc καὶ δῶρα ἱκανά. ὁδεύων δὲ Ἀλέξανδροc ἐθαύμαζε τὰ ποικίλα ὄρη τῆc κρυcταλλοφόρου[1]) γῆc φθάνοντα[2]) ἕωc τῶν τοῦ οὐρανοῦ νεφῶν, καὶ τὰ δένδρα τὰ ὑψιπέτηλα[3]) καρποῖc καταγέμοντα, οὐχ ὡc παρ' Ἕλληcιν, ἀλλ' ὡc ἴδια θαύματα.[4]) μηλέαι[5]) γὰρ ἦcαν χρυcίζουcαι τὸν ὄγκον τῆc ὀπώραc ἔχουcαι ὡc τὰ [τῶν] παρ' Ἕλληcι κίτρα[6]), καὶ βότρυεc[7]) cταφυλῆc παμμεγέθειc, κάρυα δὲ ἔχοντα περίμετρον πεπόνων, πίθηκοι[8]) δὲ τέλειοι ὡc ἄρκοι, ἄλλα τε ζῶα ποικίλα τῇ χρόᾳ[9]) καὶ ξένα τῇ μορφῇ. ἔνιοι δὲ ἦcαν τόποι τοίχουc πετρώδειc καταβάcειc ἔχοντεc. εἶπεν δὲ ὁ Κανδαύληc· Ἀντίγονε, θεῶν οἰκητήρια τὰ ὧδε καλοῦνται. τὴν οὖν πορείαν ἐποιοῦντο καὶ ἔφθαcαν εἰc τὰ βαcίλεια, καὶ ὑπήντηcεν αὐτῷ ἡ μήτηρ καὶ οἱ[10]) ἀδελφοὶ[11]) αὐτοῦ. καὶ ὡc ἔμελλεν αὐτῷ περιπλέκεcθαι[12]), ὁ Κανδαύληc εἶπεν· οὐ πρότερον[13]) ἐμὲ περιπλέκεcθε[14]), εἰ μὴ πρῶτον τὸν cωτῆρά μου γενόμενον καὶ τῆc ἐμῆc γυναικὸc εὐεργέτην[15]) ἀcπάcαcθε, Ἀντίγονον τὸν ἄγγελον Ἀλεξάνδρου τοῦ βαcιλέωc. οἱ δὲ εἶπον αὐτῷ· τίνα[16]) cοι παρέcχε cωτηρίαν; ὡc δὲ διηγήcατο αὐτοῖc Κανδαύληc τὴν ἁρπαγὴν τῆc γυναικὸc αὐτοῦ τὴν γενομένην αὐτῷ ὑπὸ τοῦ τυράννου τῶν Βεβρύκων καὶ τὴν ὑπὸ Ἀλεξάνδρου γενομένην αὐτῷ βοήθειαν, περιεπλάκηcαν αὐτῷ οἱ ἀδελφοὶ καὶ ἡ μήτηρ αὐτῶν Κανδάκη. λαμπρὸν δὲ κατὰ (τὰ) βαcίλεια γίνεται δεῖπνον.

Cap. 22.

Τῇ οὖν ἑξῆc ἡμέρᾳ ἡ Κανδάκη προῆλθε βαcιλικῷ διαδήματι ἐμφαίνουcα, ὑπερμεγέθηc τὴν ἡλικίαν καὶ τὴν μορφὴν ἡμίθεον ἔχουcα, ὡc δοκεῖν Ἀλεξάνδρῳ[1]) εἶναι τὴν ἑαυτοῦ μητέρα Ὀλυμπιάδα. ἔβλεπε δὲ τὰ βαcίλεια ἀcτράπτοντα χρυcορόφοιc[2]) cτέγαιc[3]) καὶ πετρώδεcι[4]) τοίχοιc. cτρωμναὶ δὲ Cηρικοῖc[5]) ὑφάcμαcι καὶ τέχναιc ποικίλαιc χρυcίου ἐπὶ κλιντήρων τὰc βάcειc ἐχόντων χρυcᾶc· τὰ δὲ ἀνάκλιτα ἱμαντωμένα[6]) χρυcῷ, τράπεζαι δὲ ἐλεφαντίνηc ὕληc ἡπλωμέναι, Μηδικοί τε κίονεc τὰc κεφαλίδαc ἐβενίνοιc[7]) χροιαῖc ἀπαcτράπτοντεc· ἀνδριάντεc δὲ ἦcαν ἀναρίθμητοι χαλκοῖ·

fol. 261b

fol. 262a

---

21. 1) κρυcταλοφόρου 2) φθανόντων 3) ὑψηπέτηλα 4) ἐθήματα· 5) μηλαῖαι 6) κήτρα· 7) βότρυαc 8) πιθικοὶ 9) χρῶᾳ 10) ὁ 11) ἀδελφὸc 12) περιπλέκεcθε 13) πρώτερον 14) περιπλέκεcθαι. die worte ὁ Κανδαύληc εἶπεν· οὐ πρ. ἐμὲ περιπλ. am rande von jüngerer hand. 15) hinter εὐεργέτην interpunction. 16) τίc **22.** 1) ἀλέξανδρον 2) χρυcορρόφοιc 3) cτέγεc· 4) πετρώδεc 5) cειρικοῖc 6) ἱμεντωμένα 7) ἐβελίνοιc

ἅρματα δὲ δρεπανηφόρα τετορνευμένα ἐκ πορφυριτῶν[8]) λίθων cὺν τοῖς πώλοις[9]), ὥςτε δοκεῖν αὐτοὺς τρέχειν ζῶντας· ἐλέφαντες[10]) δὲ ἐκ τοῦ ὁμοίου λίθου[11]) γλυφέντες[12]) τοῖς ποςὶ cυμπατοῦντες τοὺς πολεμίους καὶ τοῖς προμυκτῆρςιν[13]) εἱλίςςοντες τοὺς ἀντιδίκους· ὅλοι τε [οἱ] ναοὶ cὺν τοῖς κίοςιν[14]) ἐκ μιᾶς ψήφου γεγλυμμένοι. ταῦτα οὖν ὁρῶν Ἀλέξανδρος ἀπεθαύμαζεν. ἦν δὲ cυνεςθίων τοῖς ἀδελφοῖς Κανδαύλου. παρεκάλει δὲ ὁ Κανδαύλης τὴν μητέρα καὶ ἠξίου διδόναι τῷ ἀγγέλῳ Ἀλεξάνδρου ἄξια τῆς fol. 262b αὐτοῦ φρονήςεως δῶρα καὶ ἀπολῦςαι αὐτόν. τῇ δὲ ἑξῆς ἡμέρᾳ λαβοῦςα τῆς δεξιᾶς χειρὸς Ἀντιγόνου ἡ Κανδάκη ἐδείκνυεν αὐτῷ κοιτῶνας διαυγεῖς ἐξ ἀερίτου[15]) λίθου, ὥςτε τὸν ἥλιον διὰ τῶν μαρμαρυγῶν[16]) ὑπονοεῖν ἔνδον ἀνατέλλειν· ἐν αὐτοῖς δὲ τρίκλινον ἐξ ἀμιάντων ξύλων· οἰκίαν δὲ οὐ παγεῖςαν τοῖς θεμελίοις ἐπὶ τῆς γῆς, ἀλλὰ μεγίςτοις τετραγώνοις ξύλοις παγεῖςαν, ἐπὶ[17]) τροχῶν ςυρομένην ὑπὸ εἴκοςι ἐλεφάντων καὶ ἔνθα ἐπορεύετο ὁ βαςιλεὺς πόλιν πολεμῆςαι, εἰς αὐτὴν κατέμενεν. εἶπε δὲ Ἀλέξανδρος τῇ Κανδάκῃ· ταῦτα πάντα ἄξια ἦν θαυμάζειν, εἰ παρὰ τοῖς Ἕλληςιν ἐτύγχανον καὶ οὐ παρὰ ςοί, ὅτι ὄρη τοιαῦτα καὶ ποικίλα[18]) τυγχάνουςι. παροργιςθεῖςα[19]) (δὲ) ἡ Κανδάκη εἶπεν· ἀληθῶς εἶπας Ἀλέξανδρε. ὁ δὲ φωνηθεὶς τῷ ὀνόματι Ἀλέξανδρε ἀντεςτράφη λέγων· ἐγώ, κυρία, Ἀντίγονος καλοῦμαι· ἄγγελός εἰμι Ἀλεξάνδρου. εἶπεν δὲ ἡ Κανδάκη· ναί, εἰ καὶ Ἀντίγονος ἐκλήθης[20]), ἀλλ᾽ οὐ παρ᾽ ἐμοί· Ἀλέξανδρος ὁ βαςιλεὺς τυγχάνεις. ἄρτι δέ ςοι δείξω τὸ ςυμβόλαιόν ςου. καὶ καταςχοῦςα αὐτὸν τῆς χειρὸς εἰςφέρει εἰς κοιτῶνα καὶ φέρει αὐτῷ τὸ εἰκονίδιον[21]) τοῦ ὁμοιώματος fol. 263a αὐτοῦ καὶ εἶπεν αὐτῷ· ἐπιγινώςκεις τὸν ςεαυτοῦ χαρακτῆρα; ὁ δὲ Ἀλέξανδρος ἐπιγνοὺς τὸ ἑαυτοῦ ἐκτύπωμα ἐταράχθη καὶ ἔτρεμεν. εἶπεν δὲ αὐτῷ ἡ Κανδάκη· τί τρέμεις, Ἀλέξανδρε, καὶ τετάραξαι; ὁ Περςολέτης[22]), ὁ Ἰνδολέτης[23]), ὁ καθελὼν τρόπαια Μήδων καὶ Πάρθων καὶ ὅλην τὴν ἀνατολὴν καταβαλὼν νῦν χωρὶς πολέμου καὶ ςτρατείας ὑποχείριος γέγονας Κανδάκης. ὥςτε νῦν γίνωςκε, Ἀλέξανδρε, ὅτι ὅςτις δοκεῖ τῶν ἀνθρώπων ὑπερφρονεῖν μέγα, καὶ ἄλλος[24]) μείζονα τούτου φρονήςει· τὸ γὰρ τῆς Κανδάκης φρόνημα ὑπερέβη τὸ ςοῦ ςόφιςμα, ὦ Ἀλέξανδρε. ἐθυμαίνετο δὲ ὁ Ἀλέξανδρος καὶ ἔτριζε τοὺς ὀδόντας αὐτοῦ. λέγει αὐτῷ ἡ Κανδάκη· τοὺς ὀδόντας ςου τρίζεις; τί δύναςαι ποιῆςαι ὁ τηλικοῦτος[25]) βαςιλεὺς γενόμενος; νῦν ὑποχείριος ἐγένου μιᾶς γυναικός. ὁ δὲ Ἀλέξανδρος ἠθέληςε ξίφει ἑαυτὸν ἀνελεῖν καὶ τὴν (Κανδάκην· εἶπε δὲ αὐτῷ ἡ) Κανδάκη· καὶ τοῦτο γενναῖον καὶ βαςιλικόν, (ἀλλὰ) μηδὲν ἀγωνιάςῃς, τέκνον Ἀλέξανδρε· ὥςπερ δὲ ςύ μου τὸν υἱὸν καὶ τὴν τούτου γυναῖκα ὑπὸ τῶν Βεβρύκων διέςωςας ληφθεῖςαν, κἀγώ ςε διαφυλάξω ἀπὸ τῶν βαρβάρων, Ἀντίγονόν ςε καλοῦςα·

---

8) πορφυροτῶν 9) πόλις· 10) ἐλέφαντας 11) λίθους 12) γλυφέντας· 13) προμυξεῖςιν 14) κίωςιν· 15) ἀρρήτου 16) μαρμάρων 17) ὑπὸ 18) ποίκηλα 19) παρωργιςθεῖςα 20) ἐκλήθεις· 21) εἰκονήδιον 22) περςωλέτης· 23) ἰνδωλέτης· 24) ἄλλως 25) τηλικούτως

ἐὰν (γὰρ) γνώcωcί cε ὄντα Ἀλέξανδρον, ἀναιροῦcί cε εὐθέως, ὅτι cὺ Πῶρον τὸν βαcιλέα Ἰνδῶν ἀνῄρηcαc· ἡ γὰρ γυνὴ τοῦ μικροτέρου μου υἱοῦ θυγάτηρ ἐcτὶ Πώρου, ὅθεν Ἀντίγονόν cε καλέcω· ἐγώ cου φυλάξω τὸ μυcτήριον. fol. 263ᵇ

Cap. 23.

Καὶ ταῦτα εἰποῦcα ἡ Κανδάκη ἐξῆλθε cὺν αὐτῷ καὶ εἶπεν· τέκνον Κανδαύλη καὶ cὺ θυγάτηρ Ἅρπιcα, εἰ μὴ κατ' εὔκαιρον[1]) εὕρετε[2]) τὴν cτρατείαν Ἀλεξάνδρου, οὔτε ἐγὼ ὑμᾶc ἀπελάμβανον, οὔτε cὺ τὴν ἑαυτοῦ γυναῖκα εὑρίcκεc· ὥcτε ἄξιοι γενώμεθα τοῦ ἀγγέλου Ἀλεξάνδρου καὶ δῶμεν[3]) αὐτῷ δωρεάc. εἶπε δὲ αὐτῇ ὁ ἕτεροc υἱὸc ὁ μικρότεροc· ἔcωcε τὸν ἀδελφόν μου καὶ τὴν τούτου γυναῖκα Ἀλέξανδροc· ἄχθεται[4]) δὲ ἡ ἐμὴ γυνὴ τοῦ πατρὸc αὐτῆc Πώρου ἀναιρεθέντοc ὑπὸ Ἀλεξάνδρου, καὶ τὸν ἐκείνου ἄγγελον ὑποχείριον ὧδε ἔχουcα ἀναιρῆcαι θέλει Ἀντίγονον. εἶπε δὲ ἡ Κανδάκη· καὶ τί coι ὄφελοc, τέκνον; ἐὰν τοῦτον φονεύcῃc[5]), νικᾷc τὸν Ἀλέξανδρον; εἶπεν δὲ Κανδαύληc πρὸc τὸν ἑαυτοῦ ἀδελφόν· ἐμὸc cωτὴρ ἐγένετο καὶ τῆc ἐμῆc γυναικόc, κἀγὼ τοῦτον διαcώcαc πέμψω πρὸc Ἀλέξανδρον. οὐκοῦν ἕνεκα τούτου καὶ ἡμεῖc ὧδε cυνάψωμεν μάχην πρὸc ἀλλήλουc. ὁ δὲ ἀδελφὸc αὐτοῦ ἔφη· ἐγὼ μέν, ἄδελφέ μου, οὐ θέλω, εἰ δὲ cὺ τοῦτο βούλει, ἑτοιμότερόc cού εἰμι. καὶ ταῦτα εἰπόντεc ἐτρέποντο μονομαχῆcαι εἰc ἀλλήλουc. ἡ δὲ Κανδάκη ἀγωνιάcαcα περὶ τῶν τέκνων αὐτῆc, μὴ ἔλθωcιν εἰc μάχην, λαβοῦcα τὸν Ἀλέξανδρον λέγει αὐτῷ· φρενήρηc τυγχάνων καὶ τοcαῦτα τρακτάτα (sic) δοὺc[6]) οὐδεμίαν δύναcαι ἀφορμὴν φρενῶν εὑρεῖν, ὅπωc μὴ διὰ cὲ πολεμήcουcί μου τὰ τέκνα ἑαυτούc; ὁ δὲ Ἀλέξανδροc ἔφη· ἐγὼ ἐλθὼν εἰρηνεύcω[7]) αὐτούc. καὶ ἐλθὼν μεταξὺ ἀμφοτέρων Ἀλέξανδροc λέγει· ἄκουε Θώα[8]) καὶ cὺ Κανδαύλη, ἐὰν ἐμὲ ὧδε ἀναιρήcετε, οὐδὲν μελήcει[9]) Ἀλεξάνδρῳ· ἐγὼ γὰρ Ἀντίγονοc καλοῦμαι· οὔτε γὰρ οἱ ἄγγελοι οἱ ἀποcτελλόμενοι πολύτιμοι τυγχάνουcι πρὸc μάχην βαcιλικήν. ἐὰν οὖν ἐμὲ ὧδε ἀναιρήcητε[10]), ἔχει ἀγγέλουc πλείοναc Ἀλέξανδροc· εἰ δὲ βούλεcθε παρ' ἐμοῦ τὸν ἐχθρὸν ὑμῶν αἰχμάλωτον λαβεῖν Ἀλέξανδρον, ὑπόθεcθέ[11]) μοί τι μέροc δωρεᾶc δοῦναι ἐνταῦθα, ἵνα καὶ πρὸc ὑμᾶc καταμείνω καὶ καταρτίcω τὸν Ἀλέξανδρον ὧδε παραγενέcθαι, ὡc ὑμῶν βουλομένων ἃ ἡτοιμάcατε δῶρα κατ' ὄψιν αὐτοῦ ἀποδοῦναι· καὶ τότε τὸν ἐχθρὸν ὑμῶν ὑποχείριον λαβόντεc ἑαυτοὺc ἐκδικήcαντεc θεραπευθῆτε.[12]) ἐπείcθηcαν δὲ οἱ ἀδελφοὶ αὐτῷ καὶ ἦλθον εἰc ἀγάπην. ἡ δὲ Κανδάκη θαυμάcαcα τῶν φρενῶν τοῦ Ἀλεξάνδρου εἶπεν αὐτῷ· Ἀντίγονε, ἤθελον τοῦ εἶναί cε υἱόν μου, καὶ διὰ coῦ πάντων τῶν ἐθνῶν κατεκράτηcα· οὐ γὰρ πολεμῶν ἐχειρώcω τοὺc πολεμίουc καὶ τὰc πόλειc,

fol. 264ᵃ fol. 264ᵇ

---

23. 1) εὐθὺ καιρὸν 2) εὕρατε 3) δώcωμεν 4) übergeschrieben λυπειται 5) φωνεύcηc, 6) δώcαc· 7) εἰρηνεῦcαι 8) θῶα 9) μελλήcει 10) ἀναιρήcηται· 11) ὑπότεcθέ 12) θεραπευθεῖται·

ἀλλὰ ἀγχινοίᾳ πολλῇ. ἴcθι[13]) μὲν οὖν δωροφορούμενος, ἐγκρατῶς δὲ τῆς Κανδάκης φυλαςςούςης Ἀλεξάνδρου τὸ μυςτήριον. καὶ μεθ' ἡμέρας δέκα πορευομένου αὐτοῦ δίδωςιν αὐτῷ ἡ Κανδάκη δῶρα βαςιλικά, καὶ cτέφανον ἀδαμάντινον πολύτιμον καὶ θώρακα δι' ὀνύχων[14]) καὶ βηρύλλων[15]) καὶ χλαμύδα ἀςτεροφεγγῆ διὰ χρυςοῦ ὁλοπόρφυρον. καὶ ἐκπέμπει αὐτὸν μετὰ παραδοχῆς πολλῆς καὶ τῶν ἰδίων cτρατιωτῶν.

Cap. 24.

Ὁδοιπορήςας δὲ ἡμέρας τεταγμένας ἦλθεν ἐπ' ἐκεῖνον τὸν τόπον ἔνθα εἶπεν αὐτῷ ὁ Κανδαύλης τοὺς θεοὺς ἐκεῖ διαιτᾶςθαι.[1]) καὶ εἰςελθὼν ἔνδον μετ' ὀλίγων cτρατιωτῶν ὁρᾷ φαντααςίαν εἰδώλων καὶ πυρὸς ἀςτραπήν. ὁ δὲ Ἀλέξανδρος ἐδειλίαςεν ἔμπροςθεν fol. 265a (ἀπορίᾳ?) ληφθείς· ἐπέμενε δὲ ἰδεῖν τί τὸ ἀποβηςόμενον. ὁρᾷ δέ τινας ἄνδρας ἀνακειμένους ἀπαςτράπτοντας ἐκ τῶν ὀφθαλμῶν ὡς λυχνοφεγγεῖς, ἕνα δὲ λέγοντα αὐτῷ· χαίροις[2]) Ἀλέξανδρε· οἶδάς με τίς εἰμι ἐγώ; ἐγώ εἰμι ὅςπερ[3]) καὶ cὺ cήμερον· οὐ τοςοῦτον δὲ εὐτύχηςα ὅςον cύ· ἔχεις γὰρ ὄνομα ἀθάνατον κτίςας τὴν περιπόθητον ἐν Αἰγύπτῳ Ἀλεξάνδρειαν πόλιν. εἶπε δὲ αὐτῷ Ἀλέξανδρος· ἆρα πόςα ἔτη ζήςομαι· καὶ ἔφη αὐτῷ· καλὸν μὲν τὸν ὄντα μὴ εἰδέναι πότε τελευτᾷ· προςδεχόμενος γὰρ ἐκείνην τὴν ὥραν ἀπὸ πότε[4]) ἔμαθεν ἐτελεύτηςεν· † τὸ δὲ ἐν ἀγνοίᾳ εἶναι τὸν ὄντα τούτῳ λήθη παρέχει τὸ μὴ ἔχειν κατάγνώμην· εἰ καὶ ὅλως τελευτᾷ· † τὴν μέντοι γε κτίζεις πόλιν περιφανῆ πᾶςιν ἀνθρώποις· πολλοὶ βαςιλεῖς ἐπιβήςονται τῷ[5]) ἐδάφει[6]) αὐτῆς[7])· οἰκήςεις[8]) δὲ αὐτὴν καὶ θανὼν καὶ μὴ θανών· τάφον γὰρ αὐτὴν ἕξεις ἣν κτίζεις πόλιν. καὶ οὕτως εἰπόντος αὐτοῦ ἐξέρχεται Ἀλέξανδρος.

Cap. 25.

Καὶ παραλαβὼν τοὺς ἰδίους τὴν ὁδοιπορίαν ἐποιεῖτο ἐπὶ τὰ ἴδια [ἐκ] cτρατεύματα. ὑπήντηςαν δὲ αὐτῷ οἱ cατράπαι καὶ ἔδωκαν αὐτῷ τὴν βαςιλικὴν ἐςθῆτα. καὶ ἐκεῖθεν τὴν ὁδοιπορίαν fol. 265b ἐποιήςατο ἐπὶ Ἀμαζόνας. γενόμενος δὲ παρ' αὐτὰς ἀπέςτειλεν αὐταῖς γράμματα περιέχοντα οὕτως·

Βαςιλεὺς Ἀλέξανδρος Ἀμαζόςι χαίρειν. τὴν μὲν πρὸς Δαρεῖον μάχην οἴομαι ὑμᾶς ἀκηκοέναι. ἐκεῖθεν δὲ εἰς τοὺς Ἰνδοὺς ἐπεςτρατεύςαμεν καὶ ἡττήςαμεν τοὺς ἡγουμένους αὐτῶν καὶ κατεδουλώςαμεν αὐτοὺς διὰ τῆς ἄνω προνοίας. ἐκεῖθεν δὲ εἰς τοὺς Βραχμᾶνας ὡδεύςαμεν τοὺς καλουμένους γυμνοςοφιςτάς, καὶ λαβόντες φόρους παρ' αὐτῶν ἀφήκαμεν ἐπὶ τῶν ἰδίων τόπων καταμένειν παρακαλεςάντων ἡμᾶς καὶ ἐν εἰρήνῃ παρεάςαμεν.

Ἐκεῖθεν οὖν ἀναζευγνύομεν[1]) πρὸς ὑμᾶς· ὑμεῖς δὲ cυναντῆ-

---

13) ἴcθη 14) διόνιον 15) βίβρυλλον· **24.** 1) αἰτήςαςθε 2) χαίρις 3) ὥςπερ 4) ἀπότε (ὁπότε?) 5) τοῦ 6) ἐδαφῆςαι 7) αὐτήν· 8) οἰκήςης **25.** 1) ἀναζεύγνομεν

cατε ἡμῖν γηθοcύνωc· οὐ γὰρ ἐρχόμεθα κακοποιῆcαι, ἀλλ' ὀψόμενοc τὴν χώραν, ἅμα δὲ καὶ ὑμᾶc εὐεργετῆcαι. ἔρρωcθε.

Δεξάμεναι δὲ τὰ γράμματα Ἀλεξάνδρου καὶ ἀναγνοῦcαι ἀντέγραψαν Ἀλεξάνδρῳ ταῦτα· Ἀμαζονίδων αἱ κράτιcται καὶ ἡγούμεναι Ἀλεξάνδρῳ χαίρειν. ἐγράψαμέν coι ὅπωc εἰδῇc[2]) πρὸ τοῦ cε ἐπιβῆναι ἐπὶ τοὺc τόπουc ἡμῶν, ἵνα μὴ ἀδόξωc ἀναλύcῃc. διὰ δὲ τῶν γραμμάτων ἡμῶν διαcαφοῦμεν[3]) τὰ κατὰ τὴν χώραν ἡμῶν καὶ ἡμᾶc αὐτὰc οὔcαc cπουδαίαc τῇ διαίτῃ[4])· ἔcωθεν γὰρ τοῦ fol. 266a Ἀμαζονικοῦ ποταμοῦ πέραν οἰκοῦμεν, ἐν μέcῳ δέ. ἔcτι (δὲ)[5]) τὸ περίμετρον τῆc γῆc ἡμῶν ἐνιαυτοῦ ἔχον[6]) κύκλευμα· ποταμὸc δὲ οὐκ ἔχων ἀρχήν. ἔcτι δὲ εἴcοδοc ἡμῖν μία. ἐcμὲν δὲ αἱ κατοικοῦcαι παρθένοι ἔνοπλοι μυριάδεc κζ'· ἄρρεν δὲ παρ' ἡμῖν οὐδὲ ἓν ὑπάρχει· οἱ δὲ ἄνδρεc πέρα τοῦ ποταμοῦ κατοικοῦcι τὴν χώραν νεμόμενοι.[7]) ἡμεῖc δὲ κατ' ἐνιαυτὸν ἄγομεν πανήγυριν, ἱπποφονίαν[8]), θύουcαι τῷ Διὶ καὶ Ποcειδῶνι καὶ Ἡφαίcτῳ καὶ Ἄρεϊ ἡμέραc λ'. ὅcαι[9]) δὲ βούλονται ἐξ ἡμῶν διακορεῦcαι[10]), (ἡμέραc) τινὰc καταμένουcι πρὸc αὐτούc· καὶ τὰ θηλυκὰ ὅcα ἂν τίκτουcι, γινόμενα ἑπταετῆ διαβιβάζουcι πρὸc ἡμᾶc. ὅταν δὲ πολέμιοι[11]) ἐπιcτρατεύουcιν ἐπὶ τὴν ἡμετέραν χώραν, ἐκπορευόμεθα ἐφ' ἵππων μυριάδεc δώδεκα· αἱ δὲ λοιπαὶ τὴν νῆcον διαφυλάττουcι. καὶ ἐρχόμεθα εἰc cυνάντηcιν ἐπὶ (τὰ) ὅρια[12])· οἱ δὲ ἄνδρεc ὄπιcθεν παρατεταγμένοι ἀκολουθοῦcιν ἡμῖν. καὶ εἴ τιc ἐν τῷ πολέμῳ τραυματίαc γένηται, προcκυνεῖται ὑπὸ [δια παρὰ] τῆc ἡμετέραc ἀγερωχίαc[13]) καὶ cτεφθεῖcα[14]) ἀείμνηcτοc ὑπάρχει· εἴ τιc δὲ ἐὰν πέcῃ ἐν πολέμῳ ὑπερμαχοῦcα ἢ ἐγγὺc οὖcα αὐτῇ[15]) χρήματα λαμ- fol. 266b βάνει οὐκ ὀλίγα ὄντα. ἐὰν δέ τιc cῶμα ἀγάγῃ[16]) τῶν ἐναντίων εἰc τὴν νῆcον, πρόκειται ἐπὶ τοῦτο[17]) χρυcίον καὶ ἀργύριον καὶ cιτηρέcια ἐπὶ τοῦ[18]) διαβιῶcαι (αὐτήν)· ὥcτε ἡμᾶc ἀγωνίζεcθαι[19]) ὑπὲρ τῆc ἰδίαc δόξηc. ἐὰν δὲ πολεμίων κρατήcωμεν ἢ πάλιν φύγωcιν, αἰcχρὸν εἰc αὐτοὺc καταλείπεται εἰc ἅπαντα χρόνον ὄνειδοc· ἐὰν δὲ ἡμᾶc νικήcωcιν, ἔcονται γυναῖκαc νενικηκότεc. ὅρα οὖν, βαcιλεῦ Ἀλέξανδρε, μὴ τὰ αὐτὰ coὶ cυμβήcονται. βουλευcάμενοc οὖν ἀντίγραφον ἡμῖν καὶ εὑρήcειc[20]) ἡμῶν τὴν παρεμβολὴν ἐπὶ τῶν ὁρίων.[21]) (ἔρρωcο.)

Cap. 26.

Ὁ δὲ Ἀλέξανδροc ἐντυχὼν τοῖc γράμμαcιν αὐτῶν καὶ μειδιάcαc ἀντέγραψεν αὐταῖc τάδε· Βαcιλεὺc Ἀλέξανδροc Ἀμαζόcι[1]) χαίρειν. τὰ τρία μέρη τῆc οἰκουμένηc ἐκυριεύcαμεν καὶ οὐ διελί-

---

2) ἴδειc 3) διαcαφιοῦμεν 4) διέτῃ· 5) ἐν μέcω δὲ ἐcτὶ τὸ περίμ. κτλ. 6) ἔχων 7) νεμώμενοι· 8) ἱπποφωνίαν 9) ὅcοι 10) διακουρεῦcαι (διακορεύεcθαι?)· wahrscheinlich hinter diesem wort ausgefallen: διαπερῶcι καὶ ἡμέραc. 11) πόλεμοι 12) ὄρη 13) ἀγεροχίαc· 14) cτεφθεὶc 15) ἢ ἐγγίζουcα· αὔτη 16) ἀγάγει 17) τοῦτον 18) τούτουc 19) ἀγωνίζεcθε 20) εὑρήcειν 21) ὀρέων· **26.** 1) ἀμαζόναιc



πομεν τρόπαια ϲυνιϲτῶντεϲ κατὰ πάντων. αἰϲχρὸν μὲν οὖν ἡμῖν ἀπολειφθήϲεται, ἐὰν μὴ ἐπιϲτρατευϲώμεθα ἐφ᾽ ὑμᾶϲ. καὶ εἰ μὲν οὖν θέλετε ἀπολέϲθαι καὶ ἀοίκητον τὴν ἑαυτῶν χώραν ἔϲεϲθαι, μείνατε ἐπὶ τῶν ὁρίων[2])· εἰ δὲ βούλεϲθε εἰϲ τὴν ἰδίαν γῆν κατοικεῖν καὶ μὴ πεῖραν πολέμου λαβεῖν, διαβᾶϲαι[3]) εἰϲ τὸν ποταμὸν fol. 267a ὑμῶν [καὶ] ὄφθητε[4]) ἡμῖν. ὡϲαύτωϲ καὶ οἱ ἄνδρεϲ μενέτωϲαν ἐν τῷ πεδίῳ. καὶ ἐὰν ταῦτα πράξητε, ὄμνυμι[5]) ἐγὼ ἐμὸν πατέρα καὶ ἐμὴν μητέρα Ὀλυμπιάδα, μὴ ἀδικῆϲαι ὑμᾶϲ· ἀλλὰ καὶ ὃν δ᾽ ἂν φόρον βούλεϲθε, λήψομαι[6]) παρ᾽ ὑμῶν καὶ οὐκ ἐλεύϲομαι εἰϲ τὴν ὑμετέραν γῆν. ἃϲ δὲ ἀνεκρίνατε ἐφίππουϲ[7]), ἐξαποϲτείλατε πρὸϲ ἡμᾶϲ. δίδομεν[8]) δὲ κατὰ μῆνα ἑκάϲτῃ τῶν πεμπομένων παρ᾽ ὑμῶν ἀντιμίϲθιον χρυϲίου ϲτατῆρα καὶ τὰ ϲιτηρέϲια. μετὰ δὲ τὸν ἐνιαυτὸν αὗται[9]) μὲν ἀπελεύϲονται, ἄλλαϲ δὲ ἀποϲτείλατε. βουλευϲάμεναι δὲ ἀντιγράψατε ἡμῖν. ἔρρωϲθε.

Δεξάμεναι δὲ καὶ ἀναγνοῦϲαι τὰ γράμματα Ἀλεξάνδρου ἐκκληϲίαν[10]) ἑαυταῖϲ ποιήϲαϲαι καὶ βουλευϲάμεναι ἀντέγραψαν αὐτῷ ταῦτα· Ἀμαζόνων αἱ κράτιϲται καὶ ἡγούμεναι βαϲιλεῖ Ἀλεξάνδρῳ χαίρειν. δίδομέν ϲοι ἐξουϲίαν ἐλθεῖν πρὸϲ ἡμᾶϲ[11]) καὶ θεάϲαϲθαι ἡμῶν τὴν χώραν. ταϲϲόμεθά ϲοι δὲ διδόναι κατ᾽ ἐνιαυτὸν χρυϲίου τάλαντα ρ', καὶ τὰϲ κρατίϲταϲ ἐξ ἡμῶν φ' ἀπεϲτάλκαμέν ϲοι εἰϲ fol. 267b ὑπάντηϲίν ϲου φερούϲαϲ[12]) ϲοι καὶ τὰ χρήματα καὶ ἵππουϲ γενναίουϲ ρ'. αὗται[13]) οὖν ἔϲονταί ϲοι τὸν ἐνιαυτόν. εἴ τιϲ δὲ ἐὰν διακορευθῇ[14]) ὑπό τινοϲ ἀλλοδαποῦ[15]), μενέτω παρ᾽ ὑμῖν[16])· γράφειϲ δὲ ἡμῖν ὅϲαι ἐὰν καταμείνωϲιν παρ᾽ ὑμῖν. τὰϲ δὲ λοιπὰϲ ἐξαποϲτείλαϲ λήψει ἄλλαϲ. πειθαρχοῦμεν δέ ϲοι καὶ παρόντι καὶ ἀπόντι· ἀκηκόαμεν γάρ ϲου τὰϲ ἀρετὰϲ καὶ ἀνδραγαθίαϲ[17])· † ἡμεῖϲ γὰρ ἐϲμὲν παρὰ τὴν οἰκουμένην κατοικοῦντεϲ· † ἐπελήλυθαϲ δὲ ἡμῖν ὁ δεϲπότηϲ. ἔδοξε[18]) δὲ ἡμῖν γράψαι καὶ ἐπὶ τῆϲ οἰκείαϲ γῆϲ οἰκεῖν ἡμᾶϲ καὶ πειθαρχεῖν ϲοι ὡϲ δεϲπότῃ. ἔρρωϲο.

Cap. 27.

Τούτων δὲ διαπεμφθέντων γράφει Ἀλέξανδροϲ τὰ πεπραγμένα τῇ ἑαυτοῦ μητρὶ Ὀλυμπιάδι οὕτωϲ·

[Ἐπιϲτολὴ Ἀλεξάνδρου πρὸϲ τὴν μητέρα αὐτοῦ Ὀλυμπιάδα ἔχουϲα οὕτωϲ[1])·]

Βαϲιλεὺϲ Ἀλέξανδροϲ τῇ γλυκυτάτῃ[2]) μου μητρὶ Ὀλυμπιάδι χαίρειν. ταῖϲ Ἀμαζόϲι[3]) παραταξάμενοϲ τὴν πορείαν ἐποιούμην ἐπὶ τὸν Πρύτανιν ποταμόν. παραγενόμενοϲ δὲ παρὰ τὰ προάϲτεια εἶδον ποταμὸν ἐκεῖ θηριώδη ὄντα, ϲφόδρα δὲ εἰϲ ἀθυμίαν ἦλθον οἱ ϲτρατιῶται. τῆϲ γὰρ ἡμέραϲ ἤδη[4]) μεϲαζούϲηϲ οὐκ ἐπαύϲατο ὁ

---

2) ὀρέων 3) διαβᾶτε 4) ὤφθητε 5) ὄμνυμιν 6) λήψωμαι 7) ἐφ᾽ ἵππουϲ· 8) δίδωμεν 9) αὗτοι 10) ἐκληϲίαν 11) ὑμᾶϲ· 12) φερούϲα 13) αὐτὰ (αὗται?) 14) διακουρευθῇ 15) ἀλλοδαποῦϲ· 16) ὑμῶν· 17) ἀνδραγαθείαϲ· 18) ἔδοξεϲ **27.** 1) das eingeklammerte als überschrift mit rother tinte. 2) γλυκιτάτῃ 3) ἀμαζόναιϲ 4) ἤδει

ὑετὸς ἐπὶ τῆς γῆς, πολλοὶ δὲ τῶν πεζῶν τοὺς πόδας ἐξήλγησαν· ἐγένοντο δὲ καὶ βρονταὶ ὑπερμεγέθεις καὶ ἀστραπαὶ καὶ κεραυνοὶ fol. 268ᵃ ἔπιπτον. μελλόντων δὲ ἡμῶν διαβαίνειν τὸν ποταμὸν τὸν καλούμενον Πρύτανιν, συνέβη πολλοὺς ἀναιρεθῆναι τῶν ἐγχωρίων ὑπὸ τῶν στρατιωτῶν. ἤλθομεν οὖν ἐπὶ τὸν ποταμὸν τὸν καλούμενον Θερμώδοντα[5]), ὃς ἐξέρχεται χώραν πεδινὴν καὶ εὐδαίμονα, ἐν ᾗ[6]) ᾤκουν Ἀμαζονίδες[7]) γυναῖκες τῷ μεγέθει ὑπερέχουσαι καθ' ὑπερβολὴν τῶν λοιπῶν γυναικῶν κάλλει τε καὶ εὐρωστίᾳ, σπουδαῖαι[8]), ἐσθῆτα δὲ φοροῦσαι ἀνθινήν· ὅπλοις δὲ ἐχρῶντο ἀργυρέοις[9]) καὶ ἀξίναις, σίδηρος (δὲ) καὶ χαλκὸς οὐκ ἦν ἐν αὐταῖς, συνέσει δὲ καὶ ἀγχινοίᾳ τεταγμέναι. παραβαλλόντων[10]) δὲ ἡμῶν παρὰ τὸν ποταμὸν ἔνθα Ἀμαζόνες[11]) ᾤκουν — ἔστι γὰρ (δὲ?) ποταμὸς μέγας καὶ ἀδιάβατος, ἔχει δὲ θηρίων πλῆθος — αὗται οὖν διαβᾶσαι παρετάξαντο ἡμῖν. ἡμεῖς δὲ δι' ἐπιστολῶν ἡμῶν ἐπείσαμεν αὐτὰς ὑποταγῆναι ἡμῖν.

Cap. 28.

Καὶ λαβόντες παρ' αὐτῶν φόρους ἀνεχωρήσαμεν ἐπὶ[1]) τὴν Ἐρυθρὰν θάλασσαν εἰς τὸν Τένοντα ποταμόν, καὶ ἀπ' ἐκεῖ ἤλθομεν ἐπὶ τὸν Ἄντλαν ποταμόν. ἐκεῖ δὲ οὐκ ἦν ὁρᾶν οὔτε γῆν οὔτε οὐρανόν· ἦσαν δὲ ἔθνη πολλὰ καὶ παντοδαπὰ (ἐκεῖ) κατοικοῦντα. εἴδομεν[2]) δὲ κυνοκεφάλους * * (ἀκεφάλους) ἀνθρώπους, οἵτινες fol. 268ᵇ ὀφθαλμοὺς εἶχον ἐν τῷ στήθει καὶ τὸ[3]) στόμα[4]), ἑτέρους δὲ ἄνδρας ἑξαχείρους καὶ ταυροπροσώπους καὶ τρωγλοδύτας[5]) καὶ ἱμαντόποδας ἀγριανθρώπους, ἄλλους δὲ δασεῖς ὡς αἶγας καὶ λεοντοπροσώπους, καὶ θηρία παμποίκιλα καὶ διάφορα εἰς ὅρασιν. ἀπὸ δὲ τοῦ ποταμοῦ ἐκείνου ἀποπλεύσαντες ἤλθομεν εἰς νῆσόν τινα μεγάλην, ἀπέχουσαν ἀπὸ τῆς γῆς σταδίους ρκ' καὶ εὕρομεν ἐκεῖ πόλιν τοῦ Ἡλίου· πύργοι δὲ ἦσαν ιβ' ἀπὸ χρυσίου καὶ σμαράγδων ᾠκοδομημένοι[6])· τὸ δὲ τεῖχος τῆς πόλεως ἐκείνης Ἰνδικὸν ἦν. ἐν δὲ μέσῳ ἦν βωμὸς χρυσίῳ καὶ σμαράγδῳ ᾠκοδομημένος, ἔχων ἀναβαθμοὺς ξ' (ζ'?)· ἐπάνω δὲ ἵστατο ἅρμα ἵππων καὶ ὁ ἱππηλάτης[7]) ἐκ χρυσίου καὶ σμαράγδων. ἰδεῖν δὲ αὐτὸ[8]) οὐκ ἦν ῥᾳδίως διὰ τὴν ὁμίχλην. ὁ δὲ ἱερεὺς τοῦ Ἡλίου Αἰθίοψ ἦν βύσσον καθαρὰν ἐστολισμένος. ἐλάλησεν ἡμῖν βαρβαρικῇ φωνῇ ὥστε ἀναχωρεῖν ἡμᾶς τῶν[9]) τόπων[10]) ἐκείνων.[11]) καὶ ἀναχωρήσαντες ἐκεῖθεν περιεπατήσαμεν ὁδὸν ἡμερῶν ζ'· εἶτα εὕρομεν[12]) σκότος, ἀλλ' οὐδὲ[13]) πῦρ ἐφαίνετο ἐν τοῖς τόποις ἐκείνοις. καὶ ἀναχωρήσαντες fol. 269ᵃ ἐκεῖθεν ἤλθομεν εἰς Λύσσου λιμένα καὶ εὕρομεν ὄρος ὑψηλότατον, ἐν ᾧ ἦλθον καὶ εἶδον οἰκίας καλὰς χρυσίου[14]) καὶ ἀργυρίου[15]) γεμούσας. εἶδον δὲ καὶ περίβολον μέγαν[16]) σαπφείρου λίθου,

5) θερμοδὸν· 6) ᾧ 7) μαζονίδες 8) σπουδαια· 9) ἀργυραίοις 10) παραλαβόντων 11) αἱ ἀζόνες **28.** 1) ὑπὸ 2) ἴδομεν 3) τῷ 4) στόματι· 5) τρογλωδίτας· 6) οἰκοδομουμένοι· (οἰκοδομούμενοι?) 7) ἱππελάτης 8) αὐτῷ 9) τὸν 10) τόπον 11) ἐκεῖνον· 12) εὕραμεν 13) οὔτε 14) χρυσίον (χρυσίων?) 15) ἀργύριον 16) μέγα

ἔχοντα ἀναβαθμοὺς ρη', καὶ ἄνωθεν ἱερὸν στρογγύλον ἔχον στύλους σαπφειρίνους κύκλῳ ρ'. ἔσωθεν δὲ καὶ ἔξωθεν ἀνάγλυφοι ἀνδριάντες ἡμιθέως (ἡμιθέων?) γεγλυμμένοι· Βάκχαι, Σάτυροι, Μύστιδες αὐλοῦσαι καὶ βακχεύουσαι διφυεῖς· ὁ δὲ πρεσβύτης Ἡμάρων ἐπὶ ὑποζυγίῳ[17]) ἦν. μέσον δὲ τοῦ ναοῦ ἔκειτο κλίνη χρυσοσφύρητος (χρυσοσφυρήλατος?) ἐστρωμένη, ἐν ᾗ ἦν ἀνὴρ περιβεβλημένος σινδόνα βαμβυκίνην. καὶ τὴν μὲν μορφὴν αὐτοῦ οὐκ εἶδον, ἦν γὰρ περικεκαλυμμένος, τὸ δὲ σθένος αὐτοῦ καὶ τὴν ὁλκὴν (ἀλκὴν?) τοῦ σώματος αὐτοῦ ἔβλεπον. ἦν δὲ ἐν μέσῳ τοῦ ἱεροῦ ἅλυσις χρυσῆ ὡς λιτρῶν[18]) ρ' [στατήρων] καὶ στέφανος χρυσοῦς[19]) κρεμάμενος διαυγής· ἀντὶ δὲ πυρὸς ἦν λίθος τίμιος φῶς ἐκφαίνων ἐν ὅλῳ τῷ τόπῳ ἐκείνῳ. ἦν δὲ καὶ ὀρτυγοτροφεῖον[20]) χρυσοῦν κρεμάμενον ἐκ τῆς ὀροφῆς, ἐν ᾧ ἦν ὄρνεον θηλυκὸν (ἡλίκον?) περιστερά, καὶ ὥσπερ ἀνθρωπίνῃ φωνῇ Ἑλληνικῇ ἐβόησέ μοι καί φησιν· Ἀλέξανδρε, παῦσαι λοιπὸν θεοῖς ἀντιτασσόμενος fol. 269ᵇ καὶ ὑπόστρεφε εἰς τὰ ἴδια μέλαθρα καὶ μὴ προπετεύου ἀναβαίνειν εἰς οὐρανίους ὁδούς. βουλομένου δέ μου καθελεῖν αὐτὸ[21]) καὶ τὴν κρεμαμένην κανδήλαν ὅπως ἀποστείλω σοι, καὶ εἶδον τὸν ἐπὶ τῆς κλίνης κινούμενον[22]) ὡς δοκεῖν αὐτὸν ἀναστῆναι. ἔφησαν δέ μοι οἱ φίλοι μου· παῦσαι βασιλεῦ· ἱερὸν γάρ ἐστιν. ἐξελθὼν δὲ τὸν περίβολον εἶδον ἐκεῖ κειμένους κρατῆρας χρυσοτορνεύτους δύο χωροῦντας ἀνὰ μετρητὰς ξ', οὓς καὶ ἐξεμετρήσαμεν ἐν τῷ δείπνῳ. ἐκέλευσα δὲ τὴν παρεμβολὴν ἐκεῖ γενέσθαι πᾶσαν καὶ εὐωχηθῆναι. ἦν δὲ ἐκεῖ οἶκος μέγας κατεσκευασμένος· ἦσαν δὲ ἐκεῖ ποτήρια ἐπίσημα πάσης εὐπρεπείας ἄξια ἐκ λίθων τετορνευμένα. ἐν δὲ τῷ[23]) κατακλιθῆναι ἡμᾶς τε καὶ τὰ στρατεύματα πρὸς εὐωχίαν ἐπὶ δεῖπνον, ἐξαίφνης ὥσπερ βροντὴ βιαία αὐλῶν καὶ κυμβάλων πλήθους[24]) καὶ συρίγγων καὶ σαλπίγγων καὶ τυμπάνων καὶ κιθάρας ἐγένετο. καὶ τὸ ὄρος ὅλον[25]) ἐκαπνίζετο ὥσπερ κεραυνοῦ πολλοῦ πεσόντος ἐφ' ἡμᾶς. ἡμεῖς οὖν φοβηθέντες ἀνεχωρήσαμεν ἐκ τῶν τόπων ἐκείνων καὶ ἤλθομεν ἐπὶ τὰ Κύρου βασίfol. 270ᵃ λεια καὶ κατελαβόμεθα πόλεις πολλὰς ἐρήμους καὶ ἐπίσημον μίαν πόλιν, ἐν ᾗ ἦν οἶκος μέγας, ἔνθα αὐτὸς ὁ βασιλεὺς ἐχρημάτιζεν. ἔφησαν δέ μοι ἐκεῖ εἶναι ὄρνεον ἀνθρωπίνῃ φωνῇ ἑρμηνεῦον. εἰσελθὼν δὲ εἰς τὸν οἶκον εἶδον πολλὰ θεάματα ἄξια θαύματος· ἦν γὰρ ὁλόχρυσος. ἦν δὲ μέσον τῆς ὀροφῆς ὥσπερ ὀρτυγοτροφεῖον[20]) ὅμοιον τῷ πρώτῳ χρυσοῦν κρεμάμενον καὶ ἔσωθεν αὐτοῦ ὄρνεον ὡς περιστερὰ χρυσόχροος.[26]) τοῦτο ἔφασαν ἑρμηνεύειν τοῖς βασιλεῦσι διὰ τὰς προσπιπτούσας φωνάς. εἶδον δὲ ἐκεῖ καὶ κρατῆρα μέγαν[16]) χρυσοτόρνευτον — ταῦτα δὲ ἦσαν ἔσωθεν τῶν βασιλείων Κύρου — χωροῦντα μετρητὰς ἑκατὸν ἑξήκοντα. θαυμαστὸν δὲ ἦν τῇ κατασκευῇ πάνυ· εἶχε γὰρ εἰς τὸ κύκλευμα ἀνδριάντας[27]) καὶ ναυμαχίαν (εἰς τὸ) ἄνω διάζωμα[28])· τὸ δὲ μέσον αὐτοῦ εὐλο-

---

17) ἱπποζυγίῳ 18) λυτρων. 19) χρυσὸς 20) ὀρτυγοτροφῖον 21) καθελθεῖν αὐτὸν 22) κιμούμενον, 23) τὸ 24) πλῆθος 25) ὅλος 26) χρυσόχοος 27) ἀνδριάντα 28) διάζωνον·

γίαν· τὸ δὲ ἔξωθεν αὐτοῦ χρυσοτόρνευτον· τοῦτο δὲ ἔφησαν ἐξ Αἰγύπτου εἶναι πόλεως Μέμφης, κἀκεῖθεν ἐνεχθῆναι ὅτε ἐπεκράτησαν οἱ Πέρσαι. ἦν δὲ ὁ οἶκος κατεσκευασμένος εἰς τὸν[29]) Ἑλληνικὸν ῥυθμόν[30]), ἔνθα αὐτὸς ὁ βασιλεὺς εἴθιστο χρηματίζειν. ἐν δὲ τούτῳ γέγραπται ἡ ναυμαχία ἡ γενομένη[31]) Ξέρξου. ἔκειτο δὲ ἐν τῷ οἴκῳ καὶ θρόνος χρυσοῦς λιθοκόλλητος[32]) καὶ λύρα αὐτομάτως κρουομένη. κύκλῳ ἔκειτο ποτηροθήκη χρυσῆ, ἓξ καὶ δέκα πήχεις ἔχουσα, ἀναβαθμοὺς[33]) δὲ εἶχεν ὀκτώ· ὑπεράνω δὲ ἕστηκεν ἀετὸς ὑπερέχων ταῖς πτέρυξι τὸ[34]) ὅλον κυλικεῖον.[35]) ἦν δὲ καὶ ἀναδενδρὰς χρυσῆ ἑπτάκλαδος, πάντα δὲ εἰργασμένα χρυσῷ. περὶ δὲ τῶν λοιπῶν θεαμάτων τί σοι μέλλω λέγειν τοσαῦτα; τοιαῦτα δέ ἐστιν ὥστε ἀπὸ τοῦ πλήθους μὴ δύνασθαι ἡμᾶς ἡμέρᾳ μιᾷ[36]) ἑρμηνεύειν τὴν ὑπερβάλλουσαν ἀρετήν. ἔρρωσθε.*) fol. 270 b

Cap. 30.

Γράφει δὲ καὶ ἕτερα γράμματα Ἀλέξανδρος τῇ μητρὶ αὐτοῦ Ὀλυμπιάδι, γενόμενος ἐν Βαβυλῶνι τῇ μεγάλῃ, μέλλοντος αὐτοῦ ἐκλιπεῖν τὸν ἀνθρώπινον βίον[1]), περιέχοντα οὕτως· Μεγάλην τινά φασιν [ἔχειν] τῶν δαιμονίων τὴν προβλεψίαν.[2]) τῶν γὰρ ἐγχωρίων γυναικῶν τις ἔτεκε βρέφος, τὰ μὲν ἄνω τοῦ σώματος ἕως τῶν λαγόνων ἀνθρώπου πάντα κατὰ φύσιν, τὰ δὲ ἀπὸ τῶν μηρῶν ἕως κάτω θηρίων προτομαί[3]), ὥστε εἶναι παρόμοιον τὸ παιδίον τῇ καλουμένῃ Σκύλλῃ· ἦσαν γὰρ αἱ προτομαὶ[3]) λεόντων καὶ ἀγρίων κυνῶν. καὶ τούτων[4]) ἦσαν αἱ μορφαὶ πᾶσιν εὔδηλοι, ὥστε γινώσκειν τὸν ἑκάστου τύπον[5]), ἡ δὲ τοῦ παιδίου προτομὴ ἦν τεθνηκυῖα. ἅμα δὲ τῷ[6]) τεκεῖν τὴν γυναῖκα τὸ βρέφος, ἐμβαλοῦσα αὐτὸ εἰς τὸ ῥακίον[7]) καὶ κατακαλύψασα παραγίνεται ἐπὶ τὰ βασίλεια fol. 271 a Ἀλεξάνδρου καὶ εἶπεν τῷ ἀγγέλῳ αὐτοῦ· μήνυσόν με τῷ βασιλεῖ Ἀλεξάνδρῳ περί τινος πράγματος θαυμαστοῦ, ἐπειδὴ βούλομαι αὐτῷ δεῖξαί τι. ὁ δὲ Ἀλέξανδρος ἐτύγχανεν ἀναπαυόμενος μέσον ἡμέρας ἐν τῷ κοιτῶνι αὐτοῦ. ὡς δὲ ἠγέρθη, ἤκουσε περὶ τῆς γυναικὸς καὶ ἐκέλευσεν εἰσάγεσθαι αὐτήν. τῆς δὲ ἐλθούσης ἐκέλευσεν ὁ βασιλεὺς ἀποστῆναι πάντας τοὺς παρόντας. καὶ ἐξελθόντων πάντων ἔδειξεν αὐτῷ ἡ γυνὴ τὸ γεγεννημένον[8]) τέρας φάσκουσα αὐτὴ αὐτὸ τετοκέναι. τοῦτο δὲ ἰδὼν Ἀλέξανδρος ἐθαύμασε καὶ εὐθέως ἐκέλευσεν ἐνεχθῆναι σημειολύτας σοφούς τε καὶ μάγους. καὶ τούτων ἐλθόντων μετὰ καὶ Χαλδαίων, ἐκέλευσε τὴν σύγκρισιν ποιήσασθαι αὐτοὺς περὶ τοῦ σημείου τούτου τοῦ γεννηθέντος, ἐπαγγειλάμενος αὐτοῖς θάνατον, ἐὰν μὴ εἴπωσιν αὐτῷ τὴν ἀλήθειαν. ἦσαν δὲ οἱ ἐπιδοξότατοι καὶ συνετώτατοι τῶν Χαλδαίων πέντε, καὶ ὁ μὲν εἷς κατὰ τέχνην πολὺ διέφερεν πάντων, ὃς οὐκ ἐτύγχανεν κατὰ τύχην παρεπιδημῶν. οἱ δὲ παρόντες ἔλεγον ἔσε-

---

29) τὸ 30) ῥεῖθρον· 31) γεναμένη 32) χρυσολιθοκόλητος· 33) ἀναβάθους 34) τὸν 35) κύκλον. 36) ἡμέραν *) cap. 29 fehlt.

30. 1) βίον am rande von derselben hand. 2) προσβλεψίαν· 3) προνομαὶ 4) τούτου 5) τόπον 6) τοῦ 7) ῥακκῖον 8) γεγενημένον

cθαι[9]) τοῖς πολέμοις[10]) τὸν Ἀλέξανδρον ἰςχυρότερον πάντων καὶ fol. 271^b κατακυριεύσειν[11]) πάντων τῶν ἀνθρώπων· τὰ δὲ ζῶα τὰ ἀλκιμώτατα[12]) ἔφασαν εἶναι τὰ ἔθνη ὑποτεταγμένα τῷ ἀνθρωπίνῳ cώματι καὶ τοῦτο cημαίνειν.[13]) μετ' αὐτοὺς δὲ παρεγένετο καὶ ὁ ἕτερος Χαλδαῖος πρὸς Ἀλέξανδρον καὶ ἰδὼν τὴν διάθεσιν τοῦ cημείου ἀνεβόησεν μεγάλως δακρύων καὶ τὰ ἱμάτια αὐτοῦ διέρρηξεν[14]) δεινοπαθῶν. ὁ δὲ Ἀλέξανδρος ἰδὼν αὐτὸν περιπαθῆ γενόμενον ἠγωνίασεν οὐ μετρίως καὶ κελεύει αὐτὸν θαρροῦντα λέγειν τὰ ἐκ τοῦ cημείου θεωρούμενα. ὁ δὲ λέγει[15]) αὐτῷ ταῦτα· βασιλεῦ, οὐκέτι cυγκρίνῃ τοῖς ζῶσιν. τοῦ δὲ Ἀλεξάνδρου ἀπαιτοῦντος αὐτὸν τὰ τῆς cυγκρίσεως τοῦ cημείου ἀπεκρίθη αὐτῷ ταῦτα· κράτιστε βασιλεῦ πάντων ἀνθρώπων, ὁ μὲν τύπος ὁ ἀνθρώπινος cὺ εἶ, τῶν δὲ θηρίων αἱ μορφαὶ οἱ περὶ cὲ ὄντες εἰσίν. καὶ εἰ μὲν οὖν τὸ ἄνω μέρος ἔζη καὶ ἐν κινήσει ἦν καθάπερ καὶ τὰ ζῶα τὰ ὑπὸ τούτῳ[16]) ὄντα· — καὶ ὥσπερ οὖν τοῦτο μετέστη[17]) ἐκ τοῦ ζῆν, οὕτως καὶ cύ, βασιλεῦ· καὶ ὃν τρόπον τὰ θηρία τὰ ὑπὸ τούτῳ[16]) ὄντα, οὕτως καὶ οἱ περὶ cέ. οὔτε γὰρ φρόνησιν ἔχουσιν, ἀλλὰ γὰρ καὶ ἄγρια τυγχάνουσι πρὸς τοὺς ἀνθρώπους· οὕτως καὶ οἱ περὶ cὲ ὄντες fol. 272^a διάκεινται[18]) πρὸς cέ. καὶ ταῦτα εἰπὼν ὁ Χαλδαῖος ἐξῆλθε· τὸ δὲ βρέφος αὖθις καῆναι[19]) εἶπεν ὁ Χαλδαῖος. καὶ ταῦτα ἀκούσας Ἀλέξανδρος τὰ καθ' ἑαυτὸν διετύπου πράγματα καθ' ἡμέραν.

Cap. 31.

Τοῦ δὲ Ἀντιπάτρου ἐπαναστάντος Ὀλυμπιάδι τῇ μητρὶ Ἀλεξάνδρου ἐποίησεν εἰς αὐτὴν ὅπερ ἐβούλετο. καὶ τῆς μητρὸς Ἀλεξάνδρου πλεονάκις γραφούσης αὐτῷ περὶ τοῦ Ἀντιπάτρου — ἤχθετο γὰρ ὡς μήτηρ περὶ Ἀλεξάνδρου — καὶ βουλομένης αὐτῆς διελθεῖν εἰς τὴν ἤπειρον, διεκώλυεν[1]) αὐτὴν Ἀντίπατρος. τοῦ δὲ Ἀλεξάνδρου δεξαμένου τὰ γράμματα Ὀλυμπιάδος τῆς μητρὸς αὐτοῦ καὶ γνοὺς δι' αὐτῶν τὴν ἐνεστηκυῖαν τῇ μητρὶ αὐτοῦ λύπην ἀπέστειλεν πρὸς τὸν Ἀντίπατρον Καρτερὸν τοὔνομα εἰς Μακεδονίαν ἐπιμελητὴν αὐτῆς γενόμενον. αἰσθόμενος δὲ Ἀντίπατρος τὴν ἐπίνοιαν Ἀλεξάνδρου καὶ ἄφιξιν[2]) Καρτεροῦ καὶ εἰδὼς[3]) τοὺς στρατιώτας ἀνακομίζοντα[4]) ἀπὸ Ἀλεξάνδρου εἰς Μακεδονίαν καὶ Θετταλίαν ἕνεκεν αὐτοῦ, ἐφοβήθη καὶ ἦλθεν εἰς δολοφονίας[5]) Ἀλεξάνδρου, φοβούμενος περὶ ὧν ἔπραξεν εἰς Ὀλυμπιάδα, μήποτε εἰς παραφυλακισμὸν ἔλθῃ· ἤκουσε γὰρ τὸν Ἀλέξανδρον fol. 272^b ὑπερβεβηκέναι πολὺ πρὸς ὑπερηφανίας[6]) διὰ τὰς ἐπιτελουμένας αὐτοῦ (αὐτῷ?) πράξεις. καὶ τοῦτο διαλογιζόμενος ἐσκεύασε φάρμακον δηλητήριον, ὃ οὐκ ἔφερεν ἀγγεῖον οὔτε χαλκοῦν[7]) οὔτε ὑάλινον οὔτε κεράμιον, ἀλλ' εὐθέως ἐρρήγνυτο. ἐν μολιβδίνῃ οὖν

9) ἔπεσθε 10) πολεμίοις 11) κατακυριεύσει 12) ἀλκιμωδέστατα· 13) σημαίνει· 14) διέρριξεν 15) cod.: λέγει αὐτῷ· ταῦτα βασιλεῦ, οὐκ ἔξεστι συγκρῖναι τ. ζ. κτλ. 16) τοῦτο 17) μετέστην 18) διώκειντai 19) καῖναι **31.** 1) διεκόλλυεν 2) ἔφεξιν 3) ἰδώς 4) ἀνακομίζοντας 5) δολοφωνίας 6) ὑπερηφανείας 7) χαλκόν·

